τὸ ἱερόν, οῦ,	*templo*	ἡ συμφορά, ᾶς,	*desgracia*
ἡ ἱστορία, ας,	*investigación; histo-*	τὸ σφάγιον, ου,	*víctima*
ἡ κακία, ας,	*maldad [ria*	ὁ τραυματίας, ου,	*herido*
τὸ κακόν, οῦ,	*el mal*	ὁ τρόπος, ου,	*manera, carácter*

Palabras invariables

ἤδη (adv.),	*ya*	κἄν (conj. subj.),	*aun cuando*
ἔτι (adv.),	*aún, todavía*	ὁμῶς (adv.),	*igualmente*
οὐκέτι (adv.),	*ya no, no más*	ὅταν (conj. subj.),	*siempre que*

EJERCICIO DE APLICACIÓN

Analizar y traducir:

Βασιλευθήσονται — πιστεύεσθαι — χωλευομένους — κελευοίμεθα — θεραπεύει — ἵδρυεται — πιστεύηται — κωλύοισθε — θύεσθαι — παιδεύοιντο — κελευθήσεσθαι — δεσμευομένη — φυγαδευθησομένους — κελευθήσει — κωλύου — φυγαδευέσθω — πιστευομέναις

El complemento agente

El complemento agente de un verbo pasivo se construye:

1. En *genitivo* con ὑπό, si es un nombre de persona.

   Ej.: Παιδεύομαι ὑπὸ πατρός, lat. **erudior a patre.**

2. En *dativo* sin preposición, si es un nombre de cosa.

   Ej.: Κωλύονται τῷ νόμῳ, lat. **impediuntur lege.**

VERSIÓN

1. Θεραπεύσεσθε[1] ὑπ' ἀγαθῶν ἰατρῶν. — 2. Αἱ ψυχαὶ τῇ κακίᾳ χωλεύονται. — 3. Οἱ θεοὶ ὑπὸ τοῦ Διὸς βασιλεύονται. — 4. Ταῖς τῶν ἄλλων συμφοραῖς παιδευόμεθα. — 5. Οἱ παῖδες ἀποτρέπονται τοῦ κακοῦ τοῖς ἀγαθοῖς παραδείγμασι, ἃ διδάσκεται τῇ ἱστορίᾳ. — 6. Ψεύστης ὢν οὐδέποτε πιστευθήσει, κἂν ἀληθεύῃς. — 7. Σῶμά τε καὶ ψυχὴ ὁμῶς θεραπευέσθων. — 8. Ὅταν οἱ ἀγαθοὶ πολῖται ὑπὸ τῶν τυράννων φυγαδεύωνται, ἡ πόλις οὐκέτι ἐστίν. — 9. Μὴ φονεύοιντο οἱ ἡμέτεροι πολῖται ἐν τῷ πολέμῳ. — 10. Τοῖς θεοῖς ὑπὸ τῶν νικητῶν πολλὰ ἱερὰ ἱδρυθήσεται καὶ πολλὰ σφάγια ἤδη θύεται. — 11. Ἐλπίζουσιν οἱ τραυματίαι σπουδαίως θεραπεύσεσθαι.[1] — 12. Ὁ Ἀνάχαρσις ὀνειδιζόμενος ὅτι Σκύθης ἦν, Σκύθης μὲν ἔλεγεν ὀνομάζεσθαι, οὐκ εἶναι δὲ τοῖς τρόποις (dat. de *modo*).

[1] El futuro pasivo de θεραπεύω, es θεραπεύσομαι, forma media con significado pasivo.

TEMA

1. Si (ἐάν y *subj.*) tú dices la verdad, siempre serás creído, pero el que no dice la verdad (*art.* y *partic.*), nunca será creído. — 2. Estos niños serán educados por el mismo maestro. — 3. *Se sacrificarán* muchas víctimas a los dioses de la ciudad. — 4. Todos nosotros queremos ser respetados por nuestros hijos. — 5. Los soldados *reciben la orden* [de] preparar las armas. — 6. Que sea impedido por la ley matar a un ciudadano. — 7. Sean encadenados los ladrones y conducidos a prisión. — 8. Espero que los heridos serán atendidos por un buen médico.

El imperfecto y el aoristo

VOCABULARIO

Verbos

βουλεύομαι,	*ser examinado, decidido*	πρεσβεύομαι,	*ser enviado de embajador*
ἐπι-τροπεύομαι,	*estar bajo tutela*	σκυλεύομαι,	*ser despojado*
ζωγρεύομαι,	*ser cogido prisio-* [*nero*	τίομαι,	*ser honrado*
θηρεύομαι,	*ser cazado*	ὑπο-πτεύομαι,	*ser objeto de sospe-* [*chas*
πολιτεύομαι,	*ser gobernado*	φονεύομαι,	*ser muerto*

Substantivos

τὸ ἄροτρον, ου,	*arado*	ὁ πυρός, οῦ,	*trigo*
ὁ δίφρος, ου,	*carro*	ἡ σκηνή, ῆς,	*tienda*
ἡ μανία, ας,	*locura, furor*	οἱ Τριάκοντα,	*los Treinta* (tiranos de Atenas)

Palabras invariables

αὐτίκα (adv.),	*en seguida*	πρό (pr. de g.),	*delante de, antes de*
θαυμαστῶς (adv.),	*admirablemente*	πρός (pr.),	con ac., *hacia, contra;* con gen., *de parte de;* con dat., *cerca de, además*
οὖν (conj.),	*pues, en efecto*		

EJERCICIO DE APLICACION

Analizar y traducir:

Φονευθῆναι — ἐπρεσβευόμεθα — ἐπολιτεύοντο — ἐσκυλεύθη — ἐτίεσθε — φονευθέντες — ἐπρεσβεύθημεν — ἐτίοντο — φονευθείσας — βουλεύθητι — πρεσβευθεῖμεν — βουλευθέν — τιθείην — φονευθῶσι — σκυλευθέντων — ὑπεπτεύθησαν — ἐπετροπεύετο — ζωγρεύθητε — ἐζωγρεύου — ζωγρευθέντας — ἐθηρεύοντο — ἐτίθη.

VERSION

1. Ὅτε οἱ Πέρσαι ἐδιώκοντο ὑπὸ τῶν στρατιωτῶν τοῦ Ἀλεξάνδρου, πολλοὶ μὲν ἐφονεύθησαν, πολλοὶ δ' ἐζωγρεύθησαν. — 2. Πολλοὶ μὲν τῶν ἀρίστων πολιτῶν ἐφυγαδεύοντο ὑπὸ τῶν Τριάκοντα, πολλοὶ δὲ ἐμηνύοντο ὑπὸ τῶν φίλων. — 3. Παρὰ τοῖς Σπαρτιάταις ἐθεραπεύοντο οἱ γέροντες καὶ μᾶλλον ἐτίοντο τῶν νέων. — 4. Πρὸς τοὺς Ἀθηναίους ἐπρεσβεύεσθε — 5. Οἱ ἄριστοι τῶν στρατιωτῶν πρὸ τοῦ στρατηγοῦ ἐφονεύθησαν. — 6. Οἱ Ἀθηναίοι ὑπ' ἀρχόντων ἐπολιτεύοντο. — 7. Λέγεται *(dicitur)* τοὺς λέοντας θηρευθέντας παροξύνεσθαι εἰς δεινότεραν μανίαν. — 8. Ἀριστείδης δικαιότατος ὢν τῶν ἀνθρώπων, ὑπωπτεύθη ὑπὸ τῶν πολιτῶν καὶ ἐφυγαδεύθη ἐξ Ἀθηνῶν. — 9. Ἥρα καὶ Ἑρμῆς ὑπὸ τῶν Σαμίων ἐτίοντο. — 10. Τούτων τῶν βουλῶν βουλευθεισῶν *(gen. absoluto)*, οἱ στρατηγοὶ ἐκέλευσαν τὰς σκηνὰς ἱδρυθῆναι αὐτίκα. — 11. Ὁ μῦθος λέγει τὸν Ἕκτορα φονευθέντα σκυλευθῆναι ὑπ' Ἀχιλλέως. — 12. Χρὴ *(opus est)* τοὺς πολεμίους κωλύεσθαι πλησιάζειν τῷ ποταμῷ.

TEMA

1. Alcibíades estuvo bajo la tutela de Pericles. — 2. Platón y Alcibíades fueron educados por Sócrates; Alejandro [lo fué] por el filósofo Aristóteles. — 3 Los mejores ciudadanos eran muchas veces desterrados por los atenienses. — 4. Alejandro fué impedido por sus soldados [de] hacer una expedición a la India. — 5. Los desterrados creían que sus amigos habían sido asesinados *(inf. aor.)* por los tiranos. — 6. Arístides era llamado el más justo de los griegos. — 7. Atenas fué admirablemente gobernada por Pericles. — 8. En la batalla de Platea (= en Platea) el ejército griego era mandado por Pausanias.

EJERCICIO DE DERIVACION Y COMPOSICION

Estudiar la siguiente familia de palabras, observando la formación y el significado propios de cada una de ellas:

Ἡ ἀρχή, ῆς, *principio, mando:*

I. Idea de *principio*

ἡ ἀρχαιότης, ητος, *antigüedad*
ἀρχαϊκός, ή, όν, *primitivo*
ἀρχαῖος, α, ον, *antiguo*
ἀρχαίως, *antiguamente*
ἀρχαιο-λογία, *estudio de lo antiguo*

II. Idea de *mando*

ὁ ἄρχων, οντος, *magistrado, arconte*
ὁ ἀρχι-τέκτων, *jefe constructor*
ἡ ἀν-αρχία, ας, *anarquía*
ἡ μον-αρχία, ας, *monarquía*
ἡ ὀλιγ-αρχία, ας, *oligarquía*

ἄρχω, *empezar, mandar*

EJERCICIO DE ETIMOLOGÍA

Dar el significado etimológico de las siguientes palabras:

Mito, mitología — tragedia (τράγος y ᾠδή) — paradigma — manía, maniático — paroxismo — síndico — arquetipo (τύπος, *modelo),* arquitecto — arcángel — arcaico — arqueología — oligarquía.

Los tiempos de perfecto

VOCABULARIO

Verbos

θύομαι,	*ser sacrificado*	κολακεύομαι,	*ser adulado*
ἱδρύομαι,	*ser construido*	φυτεύομαι,	*ser plantado*
κλείομαι,	*ser cerrado*	χρίομαι,	*ser untado, ungido*

Substantivos

τὸ Ἀσκληπίειον, ου,	*templo de Esculapio*	ὁ δεσμώτης, ου,	*preso*
ἡ ἄφιξις, εως,	*llegada*	ἡ θύρα, ας,	*puerta* (de una casa)
ὁ αὐτόμολος, ου,	*desertor*	ἡ πύλη, ης,	*puerta* (de una ciudad)
ὁ αἰχμάλωτος, ου,	*prisionero*	ὁ πύργος, ου,	*torre*

Adjetivos

ἀ-παίδευτος, ος, ον,	*no instruído*	ἐπι-μελής, ής, ές,	*cuidadoso*
αἴτιος, α, ον,	*culpable*	καθαρός, ά, όν,	*puro*
ἐπι-εικής, ής, ές,	*conveniente*	ὑψηλός, ή, όν,	*alto, elevado*

Palabras invariables

ἀν-ηλεῶς (adv.),	*sin piedad*	ἐπι-εικῶς (adv.),	*convenientemente*
δεῦρο (adv.),	*acá* (huc)	ἐπι-μελῶς (adv.),	*cuidadosamente*
ἐκεῖσε (adv.),	*allá* (illuc)	πρίν (conj.),	*antes de*

EJERCICIO DE APLICACION

Analizar y traducir:

Κεκλείσθω — ἵδρυται — κεχριμένοι εἶεν — κεκολακευμένῃ — κεκλειμένα εἴη — ἵδρυτο — ἐκέχριντο — κεκολακεύσεσθε — ἵδρυσο — πεφυτεύσθων — ἱδρυμένος εἴης — κεκολάκευσθε — κεχριμένοι ἦτε — πεφυτευσόμεθα — κεκολακευμένων — ἱδρύσεσθαι — πεφυτεῦσθαι.

VERSION

1. Κεκλείσθω ἡ θύρα πρὸ ἡλίου δεδυκότος [1].—2. Σὺ δέ, ὦ παῖ, πολλὰ ἔχεις ἃ οἱ ἄλλοι οὐκ ἔχουσιν· ἐπιμελῶς γὰρ πεπαίδευσαι.—3. Ἡ γέφυρα ὑπὸ τῶν πολεμίων λέλυται. — 4. Αἱ πύλαι ὑπὸ τῶν φυλάκων ἐκέκλειντο, ὅτι ἡ τῶν πολεμίων ἄφιξις ὑπ' αὐτομόλων ἐμεμήνυτο. — 5. Ἐὰν μὴ λελυμένοι ὦσι δεσμῶται, ἀγέσθων δεῦρο. — 6. Ἐν τῇ ψυχῇ πεφυτευμέναι αἱ ἡδοναὶ πείθουσιν αὐτὴν μὴ σωφρονεῖν. — 7. Γρύλλος, ὁ Ξενοφῶντος υἱός, ἐν Σπάρτῃ ἐπεπαίδευτο.—8. Οἱ αἴτιοι ἐμεμήνυντο ὑπὸ τῶν φίλων καὶ ἀνηλεῶς ἐπεφόνευοντο. — 9. Ὑπὸ τῶν Ἑλλήνων ἐν τοῖς τόποις καθαροῖς καὶ ὑψηλοῖς ἐπιεικῶς ἵδρυτο τὰ Ἀσκληπίεια. — 10. Οἱ πεπαιδευμένοι εἰσὶν εὐδαιμονέστεροι τῶν ἀπαιδεύτων.

[1] Πρὸ ἡλίου δεδυκότος, *antes de la puesta de sol;* δεδυκότος es del participio perfecto activo del verbo δύω, *sumergirse, ponerse* (un astro).

TEMA

1. Estos árboles acaban de ser plantados. — 2. Habían sido sacrificadas muchas víctimas a los dioses. — 3. Que estén cerradas las puertas [durante] la noche *(genit.)*. — 4. Este joven está muy bien

educado. — 5. Los prisioneros habían sido desatados antes de ser muertos *(inf. per.)*. — 6. Los heridos están ya curados. — 7. Estos niños han sido educados por el mismo maestro. — 8. La tregua acaba de ser rota por los enemigos. — 9. Había sido construída una gran torre frente a (πρό *y gen.*) las puertas de la ciudad.

RECAPITULACION

Un poblado armenio

Ἐν ταύτῃ τῇ κώμῃ αἱ οἰκίαι ἦσαν κατάγειοι, τὸ μὲν στόμα [1] ὥσπερ φρέατος, κάτω δ᾽ εὐρεῖαι· αἱ δὲ εἴσοδοι τοῖς μὲν ὑποζυγίοις ὀρυκταί, οἱ δὲ ἄνθρωποι κατέβαινον ἐπὶ κλίμακος. Ἐν δὲ ταῖς οἰκίαις ἦσαν αἶγες, οἶες, βόες, ὄρνιθες, καὶ τὰ ἔκγονα τούτων· τὰ δὲ κτήνη πάντα χιλῷ ἔνδον ἐτρέφετο. Ἦσαν δὲ καὶ πυροὶ καὶ κριθαὶ καὶ ὄσπρια καὶ οἶνος κρίθινος ἐν κρατῆρσιν. Ἐνῆσαν δὲ καὶ αὐταὶ αἱ κριθαὶ ἰσοχειλεῖς, καὶ κάλαμοι γόνατα [2] οὐκ ἔχοντες. Τούτους ἔδει, ὁπότε τις διψῴη, [3] λαβόντα [4] εἰς τὸ στόμα μύζειν. Καὶ πάνυ ἄκρατος [5] ἦν, εἰ μή τις ὕδωρ ἐπιχέοι· καὶ πάνυ ἡδὺ τὸ πῶμα ἦν.

JENOFONTE, *Anábasis.*

[1] Acusativo de relación. Gr. § 278. — [2] *Nudos.* — [3] Optativo de repetición: *siempre que uno tuviera sed.* — [4] Part. aor. de λαμβάνω; se refiere a un τινά sobreentendido y sujeto de μύζειν. — [5] *Fuerte como vino puro;* se refiere a οἶνος κρίθινος.

EJERCICIO DE DERIVACION Y COMPOSICION

Estudiar la siguiente familia de palabras observando la formación y el significado propio de cada una de ellas:

Ἡ πόλις, εως, *ciudad, estado:*

ἡ πολιτεία, ας, *régimen político*
τὸ πολίτευμα, ατος, *medida de gobierno*
ὁ πολίτης, ου, *ciudadano*
ἡ πολῖτις, ιδος, *ciudadana*
τὸ πολίχνιον, ου, *pequeña ciudad*

πολιτικός, ή, όν, *referente al estado*
πολιτικῶς, *políticamente*
πολιτεύω, *ser ciudadano, gobernar*
πολι-ορκέω -ῶ, *sitiar una ciudad*
πολίζω, *fundar una ciudad*



ξίφος



Vista del Partenón y del Erecteon, desde los Propileos.

VOZ MEDIA

(Gr. § 138)

Tiempos de presente y de perfecto

VOCABULARIO

Verbos como λύομαι en todos los tiempos

πολιτεύομαι, *gobernar, actuar como [ciudadano*
βουλεύομαι, *deliberar*
λούομαι, *lavarse, bañarse*

στρατοπεδεύομαι, *acampar*
πορεύομαι, *marchar*
χρίομαι, *untarse*

Verbos como λύομαι sólo en el presente y en el imperfecto

αἰσχύνομαι, *avergonzarse*
βούλομαι, *querer*
γίγνομαι, *llegar a ser, producirse, [ser*
ἔρχομαι, *ir, venir*

οἴομαι u οἶμαι, *creer, opinar*
ὀργίζομαι, *indignarse*
πείθομαι, *dejarse convencer, obedecer*
φαίνομαι, *aparecer, mostrarse*

Substantivos

ἡ ἀντίδοσις, εως,	*compensación*	ἡ ἐπιστήμη, ης,	*ciencia, saber*
ὁ θυμός, οῦ,	*ánimo, ira, pasión*	ἡ εὐργεσία, ας,	*beneficio*
ἡ ἐμπειρία, ας,	*experiencia*	ἡ πανουργία, ας,	*perfidia*
ἡ δουλεία, ας,	*esclavitud*	ἡ καταστροφή, ῆς,	*trastorno, desenlace*

Palabras invariables

βραδέως (adv.),	*lentamente*	ὅπως (conj.),	*para, a fin de*
ταχέως (adv.),	*rápidamente*	παραχρῆμα (adv.),	*al instante*

Significación de la voz media

La voz media se emplea cuando el sujeto ejecuta la acción sobre sí mismo, en interés propio o sobre algo que le pertenece

Ej.: ACTIVO: Φέρω *llevo* (algo a alguien)
MEDIO: φέρομαι, *me llevo, llevo para mí.*
ACTIVO: Λούω, *lavo* (algo de alguien)
MEDIO: λούομαι τὸν χιτῶνα, *lavo* o *hago lavar mi túnica*

VERSION

1. Βουλεύου μὲν βραδέως, πράττε δὲ ταχέως. — 2. Αἱ Σπάρτης παρθένοι ἐλούοντο καὶ ἐχρίοντο τὰ σώματα ὡς οἱ νεανίαι. — 3. Εἴθε πάντες ἄνευ ὀργῆς βουλεύοιντο. — 4. Οἱ στρατιῶται ἐπορεύοντο διὰ χιόνος πολλῆς. — 5. Οἱ ψεῦσται πολλάκις γίγνονται κλέπται. — 6. Ὑμεῖς οὐκ ᾐσχύνεσθε ταῦτα πράττοντες; — 7. Πᾶσα ἐπιστήμη χωριζομένη ἀρετῆς πανουργία οὐ σοφία φαίνεται. — 8. Πειθώμεθα αὐτῷ καὶ πολιτευώμεθα προθύμως. — 9. Μὴ ὀργίζου, ἐὰν μὴ παραχρῆμα τῆς εὐεργεσίας ἡ ἀντίδοσις φαίνηται. — 10. Οἱ τῶν Περσῶν παῖδες ἐφέροντο οἴκοθεν, ὅπως παρὰ τῷ διδασκάλῳ ἐσθίοιεν, ἄρτον. — 11. Οἱ νέοι ὀργίζονται μὲν πολλάκις, γίγνονται δὲ σωφώτεροι τῇ ἐμπειρίᾳ παιδευόμενοι.— 12. Πολλὰ εὐχόμεθα ἃ βουλόμεθα μὲν αὐτοί, βούλονται δ'οὐ οἱ θεοί. —

Verbos deponentes medios

Algunos verbos solamente tienen voz media con significado activo. Corresponden a los verbos *deponentes latinos.*

Ej.: αἰσθάνομαι,	*percibir*	ἔρχομαι,	*ir*
αἰσχύνομαι,	*avergonzarse*	εὔχομαι,	*suplicar*
βούλομαι,	*querer*	οἴομαι,	*opinar*
γίγνομαι,	*llegar a ser*	πυνθάνομαι,	*informarse*

13. Πρὸς τῷ ποταμῷ ἐστρατοπεδεύμεθα. — 14. — Χρὴ (*opus est*) μὲν βεβουλεῦσθαι πρὸ τοῦ ἔργου· χρὴ δὲ τὸν βουλευσάμενον βούλεσθαι τὴν βουλὴν ταχέως πράττειν. — 15. Πάντες λελουμένοι καὶ κεχριμένοι ὦμεν. — 16. Ἡμεῖς δὲ τῆς δουλείας ἀπολελύμεθα. — 17. Τί δὲ αὐτὸ τοῦτο πάλιν ἡμῖν λέγεις; πέπαυσο.

EJERCICIO DE DERIVACION Y COMPOSICION

Estudiar la siguiente familia de palabras, observando la formación y el significado de cada una de ellas:

Φαίνω, *mostrar:*

φαίνομαι,	*aparecer*	φανταστικός, ή, όν,	*imaginario*
τὸ φαινόμενον, ου,	*lo que apareee*	φανταστός, ή, όν,	*imaginable*
ἡ φαντασία, ας,	*imaginación*	φανερός, ά, όν,	*claro*
τὸ φάντασμα, ατος,	*aparición*	φανερῶς,	*claramente*

Φύω, *engendrar, nacer:*

ἡ φύσις, εως,	*naturaleza* (fuerza [creadora	ἡ φυή, ῆς,	*crecimiento*
φυσικός, ή, όν,	*natural*	τὸ φυτόν, οῦ,	*planta, retoño*
ἡ φυσική, ῆς,	*física*	φυτεύω,	*plantar*
ἡ φυσιο-λογία, ας,	*fisiología*	ἡ φυτεία, ας,	*acción de plantar*
ἡ φυλή, ῆς,	*raza, pueblo*	τὸ φύτευμα, ατος,	*plantación*
τὸ φῦλον, ου,	*tribu*	ὁ φυτ-ουργός, οῦ,	*que cultiva las plantas*
τὸ φύλλον, ου,	*hoja*		

El futuro y el aoristo

VOCABULARIO

Verbos

θύομαι,	*sacrificar*	μαντεύομαι,	*consultar un oráculo*
ἱδρύομαι,	*construir, erigir*	παύομαι,	*cesar, terminar*
κατα-δύομαι,	*sumergirse*	στρατεύομαι,	*hacer una expedición*

Substantivos

ἡ ἀπ-οικία, ας,	*colonia*	τὸ πεδίον, ου,	*llanura*
ὁ βωμός, οῦ,	*altar*	ἡ ὕλη, ης,	*bosque*
τὸ δέσμα, ατος,	*cadena, lazo*	ἡ φιλοπονία, ας,	*amor al trabajo*
ὁ πεζός, οῦ,	*infante*	ἡ χώρα, ας,	*país*

Adjetivos

ἀξιό-λογος, ος, ον,	*digno de mención*	πρό-θυμος, ος, ον,	*pronto, celoso*
ἐρυθρός, ά, όν,	*rojo*	πλούσιος, α, ον,	*rico*
ξενικός, ή, όν,	*extranjero*	ῥᾴδιος, α, ον,	*fácil*

Verbos deponentes pasivos

Muchos de los verbos deponentes medios de la pág. 94 tienen forma pasiva con significado activo en el aoristo. Se llaman entonces *deponentes pasivos.*

Ej.: Βούλομαι, *querer,* fut. βουλήσομαι, aor. ἐβουλήθην
πορεύομαι, *marchar,* fut. πορεύσομαι, aor. ἐπορεύθην

EJERCICIO DE APLICACION

Analizar y traducir:

Παῦσαι — πορεύσεσθε — παυσαμένης — καταδυσάμενος — παυσάσθω — στρατεύσασθαι — πορεύσονται — ἱδρύσω — δύσῃ — ἐστρατεύσαντο — ἐβουλευσάμην — μαντεύσωνται — καταδύσαιο — παυσαμένου — στρατευσομένου — θυσάσθω — ἐπαύσω — ἐμαντεύσασθε — ἐβουλήθη — ἐπορεύθησαν — πορευθέντες — ἐβουλήθησαν.

Cierto número de verbos carecen de futuro activo y lo reemplazan por el futuro medio con significación activa.

Ej.: Ἀπο-λαύω, *disfrutar,* fut. ἀπολαύσομαι, aor. ἀπέλαυσα
ἀκούω, *oir,* fut. ἀκούσομαι, aor. ἤκουσα

VERSION

1. Σὺ δέ μου ἀκούσει πᾶσαν τὴν ἀλήθειαν. — 2. Ὅτε οἱ Ἕλληνες ἐστρατεύσαντο πρὸς τοὺς βαρβάρους ἐν Ἀσίᾳ, πολλάκις ἐστρατοπεδεύσαντο ἐν πλουσίαις κώμαις. — 3. Ἀλέξανδρος εἰς τὴν Λιβύην ἐπορεύθη, παρὰ τῷ Ἄμμωνι μαντευσόμενος. — 4. Καταδυσόμενος ὁ ἥλιος εἰς τὴν θάλατταν, ἐρυθρὸς φαίνεται. — 5. Οἱ Θηβαῖοι ἐν τῷ πρὸ τῆς Κορωνείας πεδίῳ τὸ τῆς Ἰτωνιάδος Ἀθηνᾶς ἱερὸν ἱδρύσαντο. — 6. Ἀγαμέμνων καὶ Μενέλαος σὺν Ἀργείοις καὶ τοῖς ἄλλοις Ἀχαιοῖς ἐστρατεύσαντο εἰς Ἴλιον. — 7. Λουσάμενοι τοῖς θεοῖς ἐθύσαντο. — 8. Ἐλύσω τὰ δέσματα. — 9. Τοῖς πορευσαμένοις ἐν ξενικαῖς χώραις ἔξεστιν ἀξιόλογα λέγειν. — 10. Καταδυσαμένου τοῦ ἡλίου, οὐ ῥᾴδιον ἦν τοῖς πεζοῖς ἔρχεσθαι διὰ τῆς ὕλης.

TEMA

1. Los griegos se pusieron en marcha *(aor. de* πορεύομαι) para hacer una expedición *(part. fut.)* contra Artajerjes. — 2. Después de consultar (= habiendo consultado) el oráculo, el ejército se pondrá en marcha *(fut.* de πορεύομαι). — 3. Espero que tú sacarás provecho *(fut.* de ἀπολαύω) de tu amor al trabajo *(gen.).*

RECAPITULACION

"La codicia rompe el saco"

Κύων κρέας φέρων ποταμὸν διέβαινεν. Θεασάμενος δὲ τὴν ἑαυτοῦ σκιὰν ἐν τῷ ὕδατι, ὑπελάμβανε ἕτερον κύνα εἶναι μεῖζον κρέας ἔχοντα, ὥστε καὶ τοῦτο συλλαμβάνειν ἤθελεν. Ἐπιχαίνων δὲ τῷ κρέᾳ, ὃ ᾤετο, καὶ τοῦ ἰδίου κρέως ἀπεστερήθη.

ESOPO.

Temístocles niño

Ὁ Θεμιστοκλῆς ἔτι παῖς ὢν ὁμολογεῖται φορᾶς μεστὸς εἶναι, καὶ τῇ μὲν φύσει συνετός, τῇ προαιρέσει δὲ μεγαλοπράγμων καὶ πολιτικός [1]. Ἐν γὰρ ταῖς ἀνέσεσι καὶ σχολαῖς ἀπὸ τῶν μαθημάτων οὐκ ἔπαιζεν, οὐδ' ἐρρᾳθύμει καθάπερ οἱ λοιποὶ παῖδες, ἀλλ' εὑρίσκετο λόγους [2] τινὰς μελετῶν καὶ συνταττόμενος πρὸς ἑαυτόν. Ἦσαν δ' οἱ λόγοι κατηγορία τινὸς ἢ συνηγορία τῶν παίδων [3]. Ὅθεν εἰώθει [4] λέγειν ὁ διδάσκαλος· «Οὐδὲν ἔσει, παῖ, σὺ μικρόν, ἀλλὰ μέγα πάντως ἀγαθὸν ἢ κακόν.»

PLUTARCO, *Temístocles.*

[1] *Aficionado a la vida pública, a la política.* — [2] Λόγους, depende de los dos particicipios que siguen. — [3] Ordenar: κατηγορία ἢ συνηγορία τινὸς παίδων. — [4] *Solía.*

EJERCICIO DE DERIVACIÓN Y ETIMOLOGIA

1. *Estudiar* la siguiente familia de palabras, observando la formación y el significado propio de cada una de ellas:

Ὁ ἀνήρ, ἀνδρός, *hombre, varón* (lat. **vir**):

ἡ ἀνδρεία, ας,	*valor, valentía*	τὸ ἀνδρίον, ου,	*hombrecillo*
ἀνδρεῖος, α, ον,	*viril, valiente*	ἡ ἀν-ανδρία, ας,	*cobardía*

2. *Indicar* el significado etimológico de las palabras siguientes: Termópilas — epistemología — cinegética — cripta — fenómeno, fantasma, fantasía, fantástico, fanerógama — catástrofe — física, fisiología, filoxera, clorofila — tisis (de φθίομαι) — Cristo.

Estela funeraria.



Partido de pelota a mano entre dos equipos.

Particularidades de los modos

VOCABULARIO

Verbos

ἀνα-γιγνώσκω,	*leer*	πιστεύω,	*creer, confiar en* (dat.)
κελεύω,	*ordenar*	ὑπ-ακούω,	*obedecer* (dat.)
κυριεύω,	*dominar* (gen.)	χαίρω,	*alegrarse, gozarse en* (d.)
κωλύω,	*impedir*	ψεύδω,	*engañar*
ναίω,	*habitar*	ψαύω,	*tocar* (gen.)

Substantivos

ἡ ἀ-τυχία, ας,	*infortunio*	ἡ ἡγεμονία, ας,	*dirección, mando*
ἡ εὐ-τυχία, ας,	*éxito*	ὁ μαθητής, οῦ,	*discípulo*
ἡ τύχη, ης,	*suerte, fortuna*	ὁ ὁμόνοια, ας,	*concordia*

Adjetivos

εὐ-τυχής, ής, ές,	*afortunado*	τυφλός, ή, όν,	*ciego*
δυσ-τυχής, ής, ές,	*desdichado*	μαλακός, ή, όν,	*afeminado*

Palabras invariables

εἰ (conj.), *si;*	εἰ μη, *si no*	πρῶτον (adv.),	*primeramente*
εἴθε (conj.), *ojalá*		ἔπειτα (adv.),	*luego, después*

Modo potencial o condicional

1. Nuestro *potencial simple* se expresa en griego por el imperfecto de indic. con ἄν si se refiere al presente, y por el presente o aoristo optativo con ἄν si se refiere al futuro.

Ej.: Ἔλυες ἄν, *desatarías* (ahora), solveres.
Λύοις o λύσειας ἄν, *desatarías* (futuro), solvas.

2. Nuestro *potencial compuesto* se expresa en griego por el aoristo de indicativo con ἄν.

Ej.: Ἔλυσας ἄν, *habrías dasatado,* lat. solvisses. (1)

EJERCICIOS DE APLICACION

1. *Analizar y traducir:*

Ἦσθα ἄν — εἴη ἄν — παιδεύσειας ἄν — λουοίμεθα ἄν — ἐκώλυον ἄν — ἡμαρτάνομεν ἄν — ἠληθεύσαμεν ἄν — πείθοιμεν ἄν — ἐλέγετε ἄν — ἐπορευόμεθα ἄν — ἐπορεύθημεν ἄν — παυσαίμεθα ἄν.

2. *Analizar y traducir:*

Faltarías *(pres.* y *fut.)* — habrías dominado — podría creer — te engañarías *(pres.)* — impedirías *(fut.)* — habrías ordenado — puede que seas — nos alegraríamos *(pres.)* — habríamos impedido.

VERSION

1. Τοῦτον, εἰ κελεύοις, λύοιμι ἄν. — Τοῦτον, εἰ ἐκέλευσας, ἔλυσα ἄν. — Τοῦτον, εἰ ἐκέλευες, ἔλυον ἄν. — 2. Οὐκ ἄν ταῦτα ἐβούλετο, εἰ σοφὸς ἦν. — 3. Τίς δ' ἄν σοι λέγοντί τι πιστεύσειεν; — 4. Ταῦτα μὲν ἄν λέγοιτο, οὐ δ' ἄν πιστεύοιτο. — 5. Φῶς εἰ μὴ εἴχομεν (impf. de ἔχω), ὅμοιοι τοῖς τυφλοῖς ἄν ἦμεν. — 6. Τίνι δ' ἄν ἐπίστευσαν τὴν ἡγεμονίαν οἱ Ἀθηναῖοι μᾶλλον ἢ Ἀλκιβιάδῃ; — 7. Ἄνευ ὁμονοίας οὐκ ἄν πόλις εὖ πολιτευθείη. — 8. Ἐβουλόμην ἄν ὑμᾶς ὁμοίως ἐμοὶ γιγνώσκειν αὐτόν. — 9. Εἰ σὺ βούλοιο, εὐδαιμονέστατος ἄν εἴης ἀνθρώπων. — 10. Εἰ ἀκούσειάς μου, ἀγαθὸς μαθητὴς γίγνοιο ἄν. — 11. Χαίροιμι ἄν, εἰ εὐσεβὴς εἴης.

Cómo se expresa una orden, una prohibición

1. Una *orden* se expresa en imperativo presente o aoristo.

Ej.: Λῦε o λῦσον, *desata tú*

2 Una *prohibición* se expresa por la negación μή seguida del imperativo presente o del subjuntivo aoristo.

Ej.: Μὴ λῦε o μὴ λύσῃς, *no desates*

En ambos casos se emplea el subjuntivo (presente o aoristo), cuando el verbo está en la 1.ª pers. del plural.

EJERCICIO DE APLICACION

Analizar y traducir:

Πιστεῦσον — ἀληθευέτω — ἀκούσωμεν — παῦσαι — παιδεύσατε — χαῖρε — λυθῶμεν — ἀγηθευσάτω — παιδεύθητι — θύωμεν — μὴ κώλυε — μὴ πιστεύσῃς — μὴ παυώμεθα — μὴ ἀκούσωμεν — μὴ πασχέτω — μὴ παιδεύωμεν — μὴ πιστεύσωμεν — μὴ ἄκουσον.

VERSION

1. Ἀληθευόντων ἀεὶ οἱ παῖδες. — 2. Ἢ λέγε τι σιγῆς κρεῖττον ἢ σιγὴν ἔχε. — 3. Λέγε ὅ τι ἐθέλεις, χειρὶ δὲ μὴ ψαύσῃς μου. — 4. Μὴ πιστεύσωμεν τοῖς πονηροῖς. — 5. Πρῶτον μὲν ἀκούσωμεν τοῦ ἀνδρός, ἔπειτα δ'ἀκούσαντος, βουλευσώμεθα. — 6. Χαῖρε,[1] ὦ δέσποτα. — 7. Μὴ τῇ παρούσῃ τύχῃ πιστεύετε. — 8. Νέος ὤν, ὦ παῖ, ἄκουσον τῶν γερόντων. — 9. Μὴ τὸ δέσμα λύσαιτε. — 10. Ὦ πατρίς, εἴθε πάντες οἳ ναίουσί σε οὕτω στέργοιεν ὡς ἐγώ, καὶ ῥᾳδίως ναίοιμεν ἄν σε, καὶ οὐδὲν ἂν πάσχοις κακόν. — 11.

Δίδασκε καὶ μάνθανε τὸ ἄμεινον.

[1] Las formas χαῖρε, χαίρετε son las fórmulas de salutación, correspondientes a **salve, salvete** del latín.

Infinitivo con artículo

El infinitivo con el artículo neutro adquiere el valor de un substantivo y como tal se declina.

Ej.: τὸ ψεύδεσθαι, *el mentir (la mentira).*
τοῦ ψεύδεσθαι, *del mentir (de la mentira).*

EJERCICIO DE APLICACION

Traducir al latín y al castellano las frases siguientes:

Τὸ πίνειν ἡδονή ἐστι. — Ὥρά ἐστι τοῦ λέγειν. — Τῷ μανθάνειν ἔχαιρεν. — Τὸ ἁμαρτάνειν ἀνθρώπινόν ἐστιν. — Διογένης εὐκατάφορος ἦν πρὸς τὸ σκώπτειν. — Ἡδύ ἐστι τὸ ἀναγιγνώσκειν.

VERSION

1. Δίκαιόν ἐστι τοὺς γέροντας τῶν νέων διαφέρειν προνοίᾳ. — 2. Μαλακοί ἐστε διὰ τὸ μὴ σώματα γυμνάζειν. — 3. Τὸ ἐσθίειν λέγω ἀναγκαῖον εἶναι. — 4. Τῷ ἀναγιγνώσκειν πολλὰ σοφὸς ἐγένετο (*aor. ind. de* γίγνομαι). — 5. Ἐκ τοῦ μὴ τοῖς γέρουσιν ὑπακοῦσαι πολλοὶ εἰς ἀτυχίαν ἥκουσιν. — 6. Δυστυχὴς εἶ διὰ τὸ χαίρειν ταῖς τῶν ἄλλων ἀτυχίαις. — 7. Οἱ τῷ λέγειν ἰσχύοντες τὸν δῆμον ῥᾳδίως πείθουσιν. — 8. Τὸν τοῦ πράττειν χρόνον ἀναλίσκομεν. — 9.

Τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον

RECAPITULACION

El cuervo

Κόραξ κάμνων τῇ μητρὶ ἔλεγε· «Εὔχου τοῖς θεοῖς, ὦ μῆτερ, καὶ δάκρυέ με». Ἡ δὲ πρὸς αὐτόν· «Τίς δήποτ' ἄν, τέκνον, ἔφη (*dijo*), τῶν θεῶν σοὶ εὔνους γίγνοιτο; ἐν γὰρ ἱερῶν θυσίαις, τίνος κρέα οὐκ ἐλῄστευσας;».

ESOPO.

Máximas de un estoico

1. Εἰ βούλει ἀγαθὸς εἶναι, πρῶτον πίστευσον ὅτι κακός εἶ.

2. Ἐάν τίς σοι ἀπαγγέλλῃ ὅτι ὁ δεῖνά σε κακῶς λέγει, μὴ ἀπολογοῦ πρὸς τὰ λεχθέντα,[1] ἀλλ' ἀποκρίνου· «ἠγνόει γὰρ τὰ ἄλλα τὰ προσόντα μοι κακά, ἐπεὶ οὐκ ἂν ταῦτα μόνα ἔλεγε».

EPICTETO.

[1] Part. aor. pas. de λέγω *decir.*

EJERCICIO DE DERIVACION Y ETIMOLOGIA

1. *Estudiar* la siguiente familia de palabras observando la formación y el significado propio de cada una de ellas:

Φίλος, η, ον, *caro, amado, querido:*

ὁ φίλος, ου,	*amigo*	φιλέω-ῶ	*amar*
ἡ φιλία, ας,	*amistad*	τὸ φίλημα, ατος,	*beso*
φίλιος, α, ον,	*amistoso*	φιλητός, ή, όν,	*amable*

2. *Dar* el significado etimológico de las siguientes palabras:

Hegemonía — pseudópodo, pseudónimo — tiflitis — filósofo, filólogo, filántropo, francófilo — páncreas.

ἀμφορεύς



RECONSTRUCCIÓN DE LA ACRÓPOLIS

Erecteon — Altar — Atenea — Partenón — Propíleos — Nike Áptera

VERBOS PUROS CONTRACTOS

I. Verbos en -αω

(Gr. §§ 161 - 162)

ACTIVA

VOCABULARIO

Verbos

ἀγαπάω,	*amar*	νικάω,	*vencer*
ἀπατάω,	*engañar*	ὁράω,	*ver*
γελάω,	*reír*	τιμάω,	*honrar*
γεννάω,	*engendrar*	τελευτάω,	*finalizar, morir*
κυβερνάω,	*dirigir, gobernar*	τολμάω,	*atreverse*
μειδιάω,	*sonreír*	σιγάω,	*callar*
μελετάω,	*meditar*	σιωπάω,	*callar*

Substantivos y adjetivos

ἡ ἀγάπη, ης,	*amor*	ὁ κυβερνήτης, ου,	*piloto, gober-*
ἡ ἀπάτη, ης,	*engaño*	ἅγιος, α, ον,	*santo* [*nador*
ἡ ἀ-δικία, ας,	*injusticia*	γελοῖος, α, ον,	*ridículo, gracioso*

EJERCICIO DE APLICACION

Analizar y traducir:

Τελευτᾷ — κυβηρνήσεις — νικήσομεν — ἐνίκα — ὁρᾷς — ἠπάτας — κυβερνῶμεν — νικήσοντας — νικήσειε — κυβερνήσειν ἄν — μελέτα — μεμελετηκόσι — ἀπατήσας — ἠπάτηκας — νικῴη ἄν — τολμῴη — ἐνικῶμεν — μελετᾶτε — τελευτήσας — ἐτιμῶμεν.

Participio con artículo

El participio precedido del artículo tiene el valor de un substantivo o de una oración determinativa de relativo.

Ej.: Ὁ λέγων, *el que habla, el orador*
Οἱ νικῶντες, *los que vencen, los vencedores.*

EJERCICIO DE APLICACION

Analizar y traducir las siguientes frases:

Πιστεύωμεν τοῖς δίκαια συμβουλεύουσιν. — Οἱ ὑπὲρ τῆς σωτηρίας τῆς πατρίδος τελευτῶντες ἐπαίνου ἄξιοί εἰσιν. — Θαυμάζωμεν τοὺς τολμῶντας. — Μὴ κολακεύωμεν τοὺς ἰσχύοντας. — Οἰκτίζω τοὺς δεινὰ πάσχοντας. — Τίωμεν τοὺς ἑαυτοὺς δικαίους καρέχοντας.

VERSION

1. Γελᾷ ὁ μωρὸς κἂν τι μὴ γελοῖον ᾖ. — 2. Ὁ ἀγαπῶν τὴν ἀδικίαν οὐδέποτε περὶ τοῦ ἀνθρώπων βίου ἐμελέτησε. — 3. Οὐκ ἠπάτα τοὺς πολίτας ὁ Περικλῆς, ἀλλ' ἐκυβέρνα τὴν πόλιν μετὰ δίκης. — 4. Σιωπῶμεν καὶ σιωπήσομεν· πολλὰ γὰρ ἔχει σιγὴ καλά. — 5. Σιγώντων οἱ νεώτεροι παρὰ τοῖς πρεσβυτέροις. — 6. Αἱ τῶν Σπαρτιατῶν μητέρες ἐκέλευον τοὺς παῖδας ἢ νικᾶν ἢ τελευτᾶν. — 7. Ὁ Ἀλέξανδρος ἐνίκησε τὸν Δαρεῖον. — 8. Ἡδὺ τὸ φῶς ὁρᾶν. — 9. Σὲ οὐδέποτ' οὔτε γελῶντα οὔτε μειδιῶντα ὁρῶμεν, ἀλλ' ἀεὶ σεμνῶς μελετῶντα. — 10. Λέγεται (*dicitur*) τὴν Γῆν γεννῆσαι μὲν τοὺς Γίγαντας, Δία δὲ νικῆσαι αὐτούς. — 11. Τὸν ψευδόμενον καὶ ἀπατῶντα τοὺς ἄλλους τίς ἂν ἀγαπῴη;

TEMA

1. En la batalla de Mantinea los tebanos bajo el mando de Epaminondas (= siendo general Epaminondas, *gen. absoluto)* vencieron a los espartanos. — 2. No te rías de (ἐπί y *dat.)* las desgracias de los demás. — 3. Muchos (μέν) atenienses murieron en Maratón, pero los griegos (οἱ δὲ Ἕλληνες) vencieron a los persas. — 4. Los filósofos meditan sobre la vida de los hombres. — 5. Calla, muchacho. — 6. Honra a tu padre y a tu madre. — 7. El callar la verdad es muchas veces necesario. — 8. Si tú fueses bueno, no engañarías a los demás. — 9. Es justo y santo honrar a los muertos (= a los que han muerto).

PASIVA Y MEDIA

VOCABULARIO

Verbos

βοάω,	*gritar*	ὁρμάομαι,	*acometer*
δαπανάω,	*consumir, gastar*	αἰτιάομαι,	*acusar*
ἐρωτάω,	*interrogar*	θεάομαι,	*contemplar*
συλάω,	*despojar, saquear*	κτάομαι,	*adquirir*
κοιμάομαι,	*dormir*	λωβάομαι,	*injuriar*

Substantivos y adjetivos

ἡ γοητεία, ας,	*fascinación*	δολερός, ά, όν,	*engañoso*
ἡ παρρησία, ας,	*sinceridad*	ῥᾴδιος, α, ον,	*fácil*
ὁ σοφιστής, οῦ,	*sofista*	χαλεπός, ή, όν,	*difícil*

Adverbios

ἀ-σκέπτως,	*temerariamente*	σήμερον,	*hoy*
αὖθις,	*de nuevo, a su vez*	χθές,	*ayer*
οἰκτρῶς,	*lastimosamente*	αὔριον,	*mañana*

EJERCICIO DE APLICACION

Analizar y traducir:

Νικηθέντες — νικᾶσθαι — νικῷντο — ὁρμᾶται — ὁρμῶνται — κτῶνται — ἐκτῶντο — ἐθεῶ — ἐθεᾶσθε — κυβερνᾷ — ἐρωτῶντο — γεννᾶται — νικηθήσεσθε — ἐκέκτηντο — ἐκοιμησάμεθα — γεννηθῶμεν — γεγεννημένος ὦ — ἀγαπηθησοίμην — ἠγαπημένος εἴην.

VERSION

1. Ὁ Διογένης, ἐρωτηθεὶς τί ἐστι κάλλιστον ἐν τῷ ἀνθρώπῳ· «ἡ παρρησία» εἶπε *(dijo)*. — 2. Ὦ ἄνδρες Ἀθηναῖοι, ἔλεγε Δημοσθένης, νικηθήσεσθε οἰκτρῶς, εἰ οὕτως ἀπατηθήσεσθε τῇ γοητείᾳ τοῦ Φιλίππου. 3. Ἡ τῶν Ἀθηναίων πόλις τοῖς τοῦ Σόλωνος νομοις ἐκυβερνᾶτο. — 4. Οἱ βάρβαροι ἐνικήθησαν ὅτι πρὸς τοὺς Ἕλληνας ἀσκέπτως ὡρμήσαντο. — 5. Αἱ πόλεις, αἳ ὑπ' ἀγαθῶν ἀρχόντων κυβερνηθήσονται, τοὺς συμμάχους οὐ λωβήσονται. — 6. Φίλους μὲν κτᾶσθαι ῥᾴδιόν ἐστι, διασῴζειν δὲ χαλεπώτερον. — 7. Τὰ ὑπὸ τοῦ Λεωνίδου τετολμημένα θαυμάζουσι πάντες. — 8. Οἵτινες τοὺς ἄλλους γελῶσι, πολλάκις αὖθις γελῶνται. — 9. Δίκαιόν ἐστι τοὺς μεγάλα χρήματα κτησαμένους καὶ πολλὰ δαπανᾶν εἰς τὸ τιμᾶν τοὺς θεούς. — 10. Τοῖς νενικημένοις σήμερον ἐλπίς ἐστι τοῦ νικήσειν αὔριον. — 11. Λέγεται *(dicitur)* τοὺς Συβαρίτας ἐπὶ φύλλων ῥόδων κοιμήσασθαι.

TEMA

Jerjes contempló la batalla de Salamina. — 2. Que sean para los vencedores *(part. aor. act.)* los bienes de los vencidos. — 3. Protágoras era honrado por los de Crotona como un dios. — 4. Admiramos las ciudades que son gobernadas *(part.)* por buenos magistrados. — 5. El heraldo fué interrogado por todos los allí presentes. — 6. Atenas fué saqueada por los persas. — 7. Si hubiese sido interrogado, habría dicho la verdad. — 8. Sócrates fué acusado de impiedad *(acus. o gen.)*. — 9. Tebas fué saqueada por el ejército de Alejandro.

RECAPITULACION

El niño que se bañaba

Παῖς ποτε λουόμενος ἔν τινι ποταμῷ ἔμελλεν ἀποπνίγεσθαι. Ὁρῶν δὲ τινα ὁδοιπόρον, τοῦτον ἐπὶ βοηθείᾳ ἐκάλει. Ὁ δὲ ἐμέμφετο τῷ παιδὶ ὡς τολμηρῷ. Τὸ δε μειράκιον εἶπε *(dijo)* πρὸς αὐτὸν· «ἀλλὰ νῦν με σῷζε, ὕστερον δὲ ἐμοὶ μέμφου».

ESOPO.

EJERCICIO DE DERIVACION Y ETIMOLOGIA

1. *Estudiar* la formación y el significado propio de cada una de las palabras que componen las siguientes familias:

Ἡ θέα, ας, *visión, espectáculo:*

θεάομαι-ῶμαι,	*contemplar*	τὸ θέατρον, ου,	*teatro*
τὸ θέαμα, ατος,	*espectáculo*	θεωρέω -ῶ,	*contemplar, observar*
ὁ θεατής, ου,	*espectador*	ἡ θεωρία, ας,	*contemplación; fiesta*
θεατός, ή, όν,	*visible*	τὸ θεώρημα, ατος,	*estudio*

2. *Dar* el significado etimológico de las siguientes palabras:

Gobernador, gobernalle — ágape, — panorama — teatro, anfiteatro — teoría, teorema — hagiografía — sibarita.



Ruinas del Teatro de Epidauro.

II. Verbos en -εω

(Gr. § 163 - 164)

ACTIVA

VOCABULARIO

Verbos

ἀκολουθέω,	*acompañar*	κατα-φρονέω,	*despreciar* (g.)
ἀλγέω,	*tener dolor*	κινέω,	*mover*
ἀσκέω,	*ejercitar*	κρατέω,	*mandar, apoderarse de* [(g.)
ἀ-τυχέω,	*ser infeliz*	λαλέω,	*hablar, charlar*
εὐ-τυχέω,	*ser feliz*	μισέω,	*odiar*
δοκέω,	*parecer*	ὀκνέω,	*vacilar*
ἐλεέω,	*tener piedad (de,* ac.)	ποιέω,	*hacer*
ἐπι-θυμέω,	*desear*	φιλέω,	*amar*
καρτερέω,	*soportar*	φοβέω,	*aterrar, hacer huir*

Substantivos

ὁ δάκτυλος, ου,	*dedo*	ὁ νεανίσκος, ου,	*joven, mozo*
τὸ εὖρος, ους,	*anchura*	τὸ πλέθρον, ου,	*pletro* (29ᵐ, 60)
τὸ ἦθος, ους,	*carácter*	τὸ πλοῖον, ου,	*barca, nave*
ἡ μετά-νοια, ας,	*arrepentimiento*	ὁ τάφρος, ου,	*fosa, trinchera*

Adjetivos

αἰσχρός, ά, όν,	*feo*	πρᾶος, εῖα, ον,	*suave, manso*
ἴδιος, α, ον,	*particular*	ὅλος, η, ον,	*todo, entero*
μέσος, η, ον,	*medio*	ὠκύς, εῖα, ύ,	*veloz, ligero*

EJERCICIOS DE APLICACION

Analizar y traducir:

Φιλοῦμεν — ἐπιτεθύμηκας — ἐμίσουν — ἠτύχεις — φοβήσομεν — ἠλεήσατε — ἐδοκεῖτε — ἐμίσησαν — φιλούντων — ἀσκήσειας — ὀκνοίης ἄν — πεφιληκέναι — ἄσκησον — κινοῦσι — φοβῆσαι — ἀτυχήσειας ἄν — καταφρονοῦντες — ὀκνοῦσαι — πεφιληκότων.

Acusativo de relación

El acusativo de relación determina y precisa la parte a que se refiere la significación del verbo o nombre con que se constituye, o *bajo qué punto de vista* una afirmación es verdadera.

Ej.: Ἀλγεῖ τὴν κεφαλήν, *tiene dolor de cabeza*
Παρθένος καλὴ τὸ εἶδος, *virgen hermosa de rostro*

EJERCICIO DE APLICACIÓN

Traducir las frases y expresiones siguientes:

Βέλτιόν ἐστι σῶμα ἢ ψυχὴν νοσεῖν. — Παῖς πρᾶος τὸ ἦθος. — Τάφρος τριῶν ποδῶν τὸ εὖρος. — Νεανίσκος καὶ τὸ εἶδος καὶ τὴν ψυχήν. — Ἀλέξανδρος τὸ ὄνομα. — Ἀθηναῖος τὸ γένος. — Ἀχιλλεὺς πόδας ὠκύς. — Τὸν δάκτυλον ἀλγεῖ. — Διὰ μέσης τῆς πόλεως ῥεῖ ποταμὸς Κύδνος ὄνομα, εὖρος δύο πλέθρων.

VERSION

1. Εἰρήνη δοκεῖ μέγα ἀγαθὸν τοῖς ἀνθρώποις εἶναι, ὁ δὲ πόλεμος μέγα κακόν. — 2. Κύριε, ἐλέησον ἡμᾶς. — 3. Μισεῖς σύ, ἀλλ' οὐ μεῖον μισοῦμεν ἡμεῖς τοὺς βαρβάρους. — 4. Ὅστις τῶο ἡδονῶν καταφρονεῖ, τοῦτον οὐ φοβεῖ ὁ θάνατος. — 5. Ἀεὶ τὴν ἀρετὴν φιλοῖτε καὶ τὴν κακίαν μισοῖτε. — 6. Ἀτυχούσης τῆς πατρίδος, πῶς οἱ ἀγαθοὶ πολῖται ἂν ὀκνοῖεν τὰς ἰδίας λύπας καρτερῆσαι; — 7. Τὸν Ὀρφέα λέγεται ᾄδοντα κινῆσαι τούς τε λίθους καὶ τὰ δένδρα. — 8. Ὁ αὐτὸς ἴσθι τῷ φίλῳ εὐτυχοῦντι ἢ ἀτυχοῦντι. — 9. Μισεῖ τὸ ταχὺ λαλεῖν· μετάνοια γὰρ ἀκολουθεῖ. — 10. Οἱ Σπαρτιᾶται τὰ σώματα ἤσκουν καὶ τοῦ θανάτου κατεφρόνουν καὶ τῆς δόξης ἐπεθύμουν. — 11. Πολλάκις μὲν ἐκράτησας τῶν πολεμίων, τί δ' οὐ σεαυτοῦ κρατεῖς; — 12. Μία χελιδὼν ἔαρ οὐ ποιεῖ.

TEMA

1. Ten piedad de los desgraciados *(acus.)*. — 2. Me parece feo el hablar mucho y no hacer nada. — 3. Soportemos varonilmente las

adversidades. — 4. Los griegos odiaban a los persas. — 5. El hombre malo es infeliz, aun cuando sea feliz. — 6. Si el piloto está enfermo (= estando enfermo el piloto, *gen. absoluto*), toda la nave peligra. — 7. Los soldados de Jerjes se apoderaron de Atenas.

PASIVA Y MEDIA

VOCABULARIO

Verbos

αἱρέω,	*coger;* med.	οἰκοδομέω,	*edificar*
αἰτέω,	*pedir,* [*elegir*	πολι-ορκέω,	*sitiar una ciudad*
βοηθέω,	*ayudar*	στρατηγέω,	*maniobrar*
ἐπαινέω,	*alabar*	ἐπι-μελέομαι,	*tener cuidado de* (g.)
κοσμέω,	*ordenar, ador-*	ἡγέομαι,	*guiar; creer* (l. duco)
λυπέω,	*afligir* [*nar*	μιμέομαι,	*imitar*
οἰκέω,	*habitar*	φοβέομαι,	*temer*

Substantivos

ὁ γονεύς, έως,	*padre;* pl. *padres*	ὁ κόσμος, ου,	*orden, mundo*
ἡ εἰκών, όνος,	*imagen*	ὁ λιμήν, ένος,	*puerto*
ἡ ζημία, ας,	*pena, multa*	ἡ στρατεία, ας,	*expedición*
τὸ κέρδος, ους,	*ganancia*	τὸ τέλος, ους,	*fin*

Adjetivos

κοινός, ή, όν,	*común*	πολυ-τελής, ής, ές,	*suntuoso*
πιστός, ή, όν,	*fiel, dócil*	σεμνός, ή, όν,	*venerable*

Palabras invariables

ἅπαξ (adv.),	*una vez*	λόγῳ... ἔργῳ (loc. adv.),	*de palabra... de hecho*
δήπου (adv.),	*sin duda*		

EJERCICIO DE APLICACION

Analizar y traducir:

Ἡγοῦνται — φοβεῖ — μιμεῖται — πεφόβηνται — ἐκοσμήθητε — λυπεῖ — μὴ φοβῆσθε — κοσμοῖσθε — φοβησάμενος — ἡγήσασθε ἄν — μιμῶνται — ἐφοβοῦντο — οἰκοδομεῖσθε — λυπηθήσονται — κοσμοῖντο ἄν — ἡγήσασθαι — κοσμηθείς — κρατησόμεθα — ᾑρεῖσθε.

VERSION

1. Οἱ νόμοι τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελοῦνται. — 2. Οἱ φιλοῦντες φιλοῦνται, οἱ δὲ μισοῦντες μισοῦνται. — 3. Μιμοῦ τὰ σεμνά, μὴ κακοὺς μιμοῦ τρόπους. — 4. Τοὺς μὲν θεοὺς φοβοῦ, τοὺς δὲ γονέας τίμα, τοῖς δε νόμοις πείθου. — 5. Ζημίαν αἱροῦ μᾶλλον ἢ κέρδος αἰσχρόν· τὸ μὲν γὰρ ἅπαξ λυπήσει, τὸ δὲ ἀεί. — 6. Πιστοὺς ἡγοῦ μὴ τοὺς ἅπαν ὅ τι ἂν λέγῃς ἢ ποιῇς ἐπαινοῦντας. — 7. Δημοσθένης τοῖς Ἀθηναίοις ἔλεγε· «Στρατηγοὺς αἱρεῖσθε καὶ λόγῳ οὐκ ἔργῳ στρατείας ποιεῖσθε· σρατηγεῖσθε δ'ὑπὸ Φιλίππου.» — 8. Ἡ πόλις τῶν Συρακουσίων λιμέσιν ἐκεκόσμητο μεγίστοις. — 9. Πᾶσα ἡ γῆ ἐκινήθη καὶ οἱ ἄνθρωποι τὸ τέλος τοῦ κόσμου ἐφοβήσαντο. — 10. Ἡ πόλις ᾠκοδομήθη ὑπὸ Περικλέους πολλὰ καὶ πολυτελῆ ἱερὰ καὶ καλλίσταις εἰκόσιν ἐκοσμήθη.

TEMA

1. Los romanos imitaron el gobierno de los espartanos. — 2. Si (ἐάν *y subj.*) imitas las obras de los buenos, serás sin duda feliz. — 3. Los justos no temen la muerte. — 4. Conviene tener más cuidado del alma que del cuerpo. — 5. Se dice (λέγεται y *oración de inf.*) que Troya fué sitiada [durante] diez años *(acus.)* por los griegos.

RECAPITULACION

Diógenes y los corintios

Ὁπότε ὁ Φίλιππος ἐλέγετο[1] ἤδη ἐπελαύνειν, οἱ Κορίνθιοι πάντες ἐταράττοντο καὶ ἐν ἔργῳ ἦσαν, ὁ μὲν ὅπλα ἐπισκευάζων, ὁ δὲ λίθους

[1] Ὁ Φίλιππος ἐλέγετο ἐπελαύνειν, **construcción personal en vez de ἐλέγετο τὸν Φίλιππον ἐπελαύνειν,** ***se decía que Filipo avanzaba*** **(cf. latín dicuntur hostes venire).**

παραφέρων, ὁ δὲ ὑποικοδομῶν τοῦ τείχους, ὁ δὲ ἄλλος ἄλλο τι τῶν χρησίμων ὑπουργῶν. Ὁ δὴ Διογένης, ὁρῶν ταῦτα, σπουδῇ μάλα καὶ αὐτὸς ἐκύλιε τὸν πίθον, ἐν ᾧ ᾤκει, ἄνω καὶ κάτω τοῦ Κρανείου. Καί τινος τῶν συνήθων ἐρωτήσαντος· «Τί ταῦτα ποιεῖς, ὦ Διόγενες; — «Κυλίω ἔλεγε, κἀγὼ [2] τὸν πίθον, ὡς μὴ μόνος ἀργεῖν δοκῶ [3] ἐν τοσούτοις ἐργαζομένοις.»

LUCIANO.

[2] Κἀγώ, crasis, por καὶ ἐγώ. — [3] Ἀργεῖν δοκῶ, construcción personal como en el número 1, por δοκῇ με ἀργεῖν.

EJERCICIO DE DERIVACION Y ETIMOLOGÍA

1. *Estudiar* la siguiente familia de palabras observando la formación y el significado proopio de cada una de ellas:

Ὁ κόσμος, ου, *orden, ornato; mundo* (lat. **mundus**):

κοσμέω-ῶ,	*adornar*	ὁ κοσμητής, οῦ,	*que ordena, adorna*
ἡ κόσμησις, εως,	*acción de adornar*	κοσμικός, ή, όν,	*del mundo*

Ποιέω, *hacer, crear*

ἡ ποίησις, εως,	*creación*	ὁ ποιητής, οῦ,	*creador, poeta*
τὸ ποίημα, ατος,	*obra*	ποιητικός, ή, όν,	*poético*

2. *Dar* el significado etimológio de las siguientes palabras:
   Acólito — neuralgia, cefalalgia — ascética — Eulalia — misántropo, misógino — poesía, poema, poeta — cinematógrafo — dactilografía — hidrófobo, fobia — mímica — cosmogonia, cosmopolita, cósmico, cosmética.



Relieve de un tratado entre Atenas y Esparta.

III. Verbos en -όω

(Gr. §§ 165 - 166)

ACTIVA

VOCABULARIO

Verbos

ἀξιόω,	*juzgar digno*	ζηλόω,	*envidiar, rivalizar*
ἀμαυρόω,	*ofuscar, destruir*	μαστιγόω,	*azotar*
γυμνόω,	*desnudar*	ὁμοιόω,	*comparar* (dat.)
δεσμόω,	*encadenar*	πληρόω,	*llenar*
δηλόω,	*mostrar*	στεφανόω,	*coronar*
δουλόω,	*esclavizar*	τελειόω,	*llevar a cabo*
ἐλευθερόω,	*libertar*	τυφλόω,	*cegar*

Substantivos

τὸ εὕρημα, ατος,	*invento*	ὁ τάφος, ου,	*sepulcro*
ἡ λήθη, ης,	*olvido*	ἡ ὑπερη-φανία, ας,	*orgullo*
ἡ πρᾶξις, εως,	*acción*	ὁ φιλ-άργυρος, ου,	*avaro*

EJERCICIO DE APLICACIÓN

Analizar y traducir:

Ζηλοῦμεν — μαστιγῶμεν — ἠλευθεροῦτε — ἐδήλωσαν — ἠλευθερώκαμεν — μαστιγώσειε ἄν — γυμνώσετε — τελειῶσαι — μὴ ζηλώσητε — ἐλευθερώσασαι — ζηλοῦσι — τυφλοῦν — τοῖς τελειοῦσι — ἐλευθεροῖτε — γυμνώσῃς — ζηλώσουσι — τετυφλώκοιεν.

VERSION

1. Χρόνος πάντα ἀμαυροῖ καὶ εἰς λήθην ἄγει. — 2. Ὁ λόγος δηλοῖ ὅτι οὐ πάντες πρὸς ταὐτὰ πεφύκασιν. — 3. Ὧν τὴν δόξαν ζηλοῖς τούτων μιμοῦ τὰς πράξεις. — 4. Οἱ Ἕλληνες πᾶσαν τὴν Ἑλλάδα ἀπὸ τῶν

βαρβάρων ἠλευθέρωσαν — 5. Ἀλέξανδρος ἐν Ἰλίῳ τὸν Ἀχιλλέως τάφον ἐστεφάνωσε. — 6. Νόμος μέν ἐστι παρ' ὑμῖν στεφανοῦν τοὺς ἐν ἀγῶσι νικήσαντας· τί δ' οὐκ ἂν στεφανοῖτε καὶ τοὺς σοφοὺς ἄνδρας, τοὺς καλὰ εὑρήματα τελειοῦντας; — 7. Μή τυφλώσειέ σε ἡ ὑπερηφανία. — 8. Οἱ πολέμιοι τοὺς αἰχμαλώτους γυμνώσαντες ἐμαστίγωσαν. — 9. Οὐ δεῖ τὰ μικρὰ τοῖς μεγάλοις ὁμοιοῦν. — 10. Πάντες οἱ τῆς γῆς θησαυροὶ οὐκ ἂν πληροῖεν τὸν τοῦ φιλαργύρου θυμόν.

11. Αὐτὴ σὺ δουλοῖς καὶ σε καὶ πᾶσαν πόλιν.

TEMA

1. Encadenaron y azotaron a los prisioneros. — 2. Libertemos el alma de (ἀπό) la esclavitud de las pasiones. — 3. ¡Ojalá no te ciegue el orgullo! — 4. Emula, hijo, a los hombres justos y prudentes. 5. No envidies a los ricos. — 6. Homero comparó los hombres a unas hojas. — 7. Los persas sometieron los jonios a esclavitud.

PASIVA Y MEDIA

VOCABULARIO

Verbos

ζημιόω,	*castigar, multar*	ταπεινόω,	*bajar, humillar*
κληρόω,	*elegir por suerte*	δεξιόμαι,	*acoger*
ξενόω,	*hospedar*	θυμόομαι,	*irritarse*
ὑψόω,	*elevar, ensalzar*	χειρόομαι,	*someter*

Substantivos y adjetivos

ἡ ἀκτή, ῆς,	*ribera*	ὁ ὁδοι-πόρος, ου,	*viajero*
ἡ δάφνη, ης,	*laurel*	ἡ τιμωρία, ας,	*castigo, venganza*
ἡ κραυγή, ῆς,	*clamor*	ἡ φοῖνιξ, ικος,	*palmera*
ὁ νησιώτης, ου,	*isleño*	ἀν-αίτιος, ος, ον,	*inocente*

1. Ὁ τρόπος τῶν ἀνθρώπων δηλοῦται οὐκ ἐκ τῶν λόγων, ἀλλ' ἐκ τῶν ἔργων. — 2. Πανταχοῦ οἱ προδόται θανάτῳ ζημιοῦνται. — 3. Πλάτων ἔλεγε πρός τινα τῶν παίδων· «Ἂν ἐμαστίγου σu, εἰ μὴ ἐθυμούμην ἐγώ.» 4. Ὁ Πολύφημος, ὑπ' Ὀδυσσέως τυφλούμενος, τοὺς Κύκλωπας παρεκάλει, καὶ πᾶσα ἡ ἀκτὴ ταῖς κραυγαῖς αὐτοῦ ἐπληροῦτο. — 5. Οὐκ ἂν δικαιοῖτο ἡ τιμωρία τῶν ἀναιτίων. — 6. Ὑπὸ τῶν σοφῶν ὁ μὲν λόγος ὁμοιοῦται τῷ ἀργύρῳ, ἡ δὲ σιγὴ τῷ χρυσῷ. — 7. Ὅστις μὲν ὑψοῦται ταπεινωθήσεται, ὅστις δὲ ταπεινοῦται ὑψωθήσεται. — 8. Ἐλευθερωθέντες ἀπὸ τῶν τυράννων, οἱ νησιῶται ἐδουλώθησαν ὑπὸ τῶν βαρβάρων. — 9. Ὑπὸ τῶν Ἑλλήνων δάφνῃ καὶ φοίνικι οἱ νικῶντες ἐστεφανοῦντο. — 10. Οἱ Ῥωμαῖοι πολὺ ῥᾷον τοὺς Γαλάτας ἐχειρώσαντο ἢ τοὺς Ἴβηρας.

Adjetivos verbales

(Gr. § 210)

EJERCICIO DE APLICACION

1. *Formar* los adjetivos verbales en τέος y τος de los verbos·

βουλεύω	παύω	ποιέω	βοάω	ὁράω
κωλύω	φιλέω	τιμάω	δηλόω	δουλεύω

2. *Analizar y traducir:*

Πρεσβευτέα — κινδυνευτέοις — δουλευτέων — ἀγορευτός — ὁρατός —χορευτός — θεωρητός — τοξευτέον — ὁ πατὴρ τιμητέος — ἡ πόλις ὠφελητέα — διωκτέον τὴν εἰρήνην — τοῦτο ποιητέον ἐστίν.

MEMORANDA

Los adjetivos verbales en τέος admiten dos construcciones:

PERSONAL:	Ἡ πατρὶς πᾶσι φιλητέα ἐστιν	**Patria omnibus amanda est**
IMPERSONAL:	Τὴν πατρίδα πᾶσι φιλητέον ἐστίν	

En ambos casos la persona que debe hacer la acción se pone en dativo

VERSIÓN

1. Πειστέον ὑμῖν πατρὸς λόγοις. — 2. Οὐ δουλευτέον τοὺς νοῦν ἔχοντας τοῖς κακῶς φρονοῦσιν. — 3. Οὐ τῇ ἡδονῇ δουλευτέον. — 4. Τοὺς φίλους εὐεργετητέον, τὴν πόλιν ὠφελητέον, τῶν βοσκημάτων ἐπιμελητέον. — 5. Ποταμός τις ἡμῖν ἐστι διαβατέος. — 6. Κωλυτέον τοὺς ὑβρίζειν βουλομένους. — 7. Ἐπιθυμητέον ἐστιν ὑμῖν τῆς ἀρετῆς. — 8. Ὁ θεὸς αὐτὸς οὐχ ὁρατός, ἀλλὰ λόγῳ μόνον καὶ νῷ θεωρητός.

RECAPITULACION

Deberes hacia la Patria

Μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν ἐστιν ἡ πατρὶς [1] καὶ ἁγιώτερον τοῖς νοῦν ἔχουσι· καὶ σέβεσθαι δεῖ καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν ἢ πατέρα, καὶ ἢ πείθειν ἢ ποιεῖν ἃ ἂν κελεύῃ, καὶ πάσχειν, ἐάν τι προστάττῃ παθεῖν, [2] ἡσυχίαν ἄγοντα· [3] καὶ ἐὰν εἰς πόλεμον ἄγῃ τρωθησόμενον [4] ἢ ἀποθανούμενον, [5] ποιητέον ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει, καὶ οὐχὶ ὑπεικτέον οὐδὲ ἀναχωρητέον οὐδὲ λειπτέον τὴν τάξιν, ἀλλὰ καὶ ἐν πολέμῳ, καὶ ἐν δικαστηρίῳ καὶ πανταχοῦ ποιητέον ἃ ἂν κελεύῃ ἡ πόλις καὶ ἡ πατρίς.

PLATÓN, *Critón.*

[1] Gr. § 267. — [2] Infin. aor. 2 de πάσχω, *sufrir*. — [3] Ἡσυχίαν ἄγοντα, *tranquilamente, sin quejarse*. — [4] Part. fut. pas. de τιτρώσκω, *herir*. — [5] Part. fut. med. de ἀποθνήσκω, *morir*.

Hoplita griego
matando a un abanderado persa.



Pórtico de las Cariátides, del Erecteon *(Acrópolis).*

VERBOS MUDOS

(Gr. § 171 - 175)

VOCABULARIO

Verbos

I. En labial

τρίβω,	*frotar*
βλέπω,	*mirar*
λείπω,	*dejar*
πέμπω,	*enviar*
γράφω,	*escribir*
κλέπτω,	*robar*
κρύπτω,	*ocultar*
θάπτω,	*sepultar*
ῥίπτω,	*arrojar*
ἅπτομαι,	*aplicarse a* (g.)

II. En gutural

λέγω,	*decir*
στέργω,	*amar*
διδάσκω,	*enseñar*
διώκω,	*perseguir*
ἄρχω	*mandar* (g.)
εὔχομαι,	*suplicar*
πατάττω,	*pegar*
πράττω,	*hacer*
τάττω,	*ordenar,* [*alinear*
φυλάττω,	*guardar*

III. En dental

ᾄδω,	*cantar*
σπεύδω,	*apresurar*
ψεύδω,	*engañar*
ἀνύτω,	*concluir*
πείθω,	*convencer*
ἁγιάζω,	*santificar*
ἐλπίζω,	*esperar*
κολάζω,	*castigar*
νομίζω,	*creer*
ὁρίζω,	*definir*

Substantivos

ἡ ἀ-σέβεια, ας,	*impiedad*
ἡ βακτηρία, ας,	*bastón*
ἡ γραφή, ῆς,	*escritura; acusación*
οἱ γονεῖς, έων,	*padres*
τὰ τέκνα, ων,	*hijos*
ὁ πρεσβευτής, οῦ,	*embajador*

I. Verbos en labial: βω, πω, φω (y πτω)

EJERCICIO DE APLICACIÓN

Analizar y traducir:

Γράψον — ἐπέμφθη — γεγραφέναι — βλέψοιμι — ἐκρύφθην — βλέψει — ἔρριψα — τέθαμμαι — τέτριφα — ἐτριψάμην — ἄψασθαι — ἐθάφθην — ἐκλέφθην — κρύψομαι — κέκρυμμαι — θάψω.

VERSION

1. Ὁ Σωκράτης βλέψας εἰς τὸν Κρίτωνα· «ὦ Κρίτων, ἔφη *(dijo)*, ἀπαγέτω τις τὴν Ξανθίππην οἴκαδε. — 2. Μὴ ἔλπιζε τῷ χρόνῳ κακὸν ἔργον κρύψειν. — 3. Οἱ Θηβαῖοι ἔπεμψαν κήρυκα, τοὺς νεκροὺς αἰτοῦντες θάψαι. — 4. Ἤλπιζεν ὁ Φιλοκτήτης οὐ λειφθήσεσθαι ὑπὸ Νεοπτολέμου. — 5. Πλάτων τραγῳδίας ἐγεγράφει πρὶν τῆς φιλοσοφίας ἅψασθαι. 6. Ὁ Σωκράτης ἀντὶ τοῦ μὴ νομίζειν θεούς, ὡς ἐν τῇ γραφῇ ἐγέγραπτο, φανερὸς ἦν θεραπεύων[1] τοὺς θεοὺς μάλιστα ἄλλων ἀνθρώπων. — 7. Δημοσθένης ὑπ᾽ Ἀθέναίων εἰς Θήβας πρεσβευτὴς ἐπέμφθη. — 8. Πάντες τοῖς λεγομένοις μᾶλλον ἢ τοῖς γεγραμμένοις πιστεύουσιν. — 9. Ὀρφεὺς τέθαπται περὶ τὴν Πιερίαν. — 10. Ὦ βασιλεῦ, τοὺς κλέψαντας κόλαζε. 11. — Ἄγγελοι πρὸς τὸν δῆμον ἐπέμφθησαν. — 12. Ὃ γέγραφα, γέγραφα.

[1] Φανερὸς ἦν θεραπεύων *era manifiesto que honraba;* Gr. § 388 - Obs.

II. Verbos en gutural: γω, κω, χω (y ττω o σσω)

EJERCICIO DE APLICACIÓN

Analizar y traducir:

Δίωξαι — ἤρχθη — πραχθήσομαι — ἔταξα — ἐταξάμην — τέταγμαι — ἠρξάμην — ἔστερξα — ἄρξομαι — ἐδιωξάμην — φυλάξομαι ἐπραξάμην — πέπραγμαι — στέρξω — ἦρχα — ἦρξα — διώξειν.

VERSION

1. Οἱ Ἕλληνες τοὺς ἐναντίον τεταγμένους νικήσαντες ἐδίωξαν. — 2. Δημῶναξ ὁ φιλόσοφος ἐρωτηθεὶς πότε ἤρξατο φιλοσοφεῖν· «Ὅτε, *ἔφη (dijo)*, καταγιγνώσκειν ἐμαυτοῦ ἠρξάμην». — 3. Λυκοῦργος ἐπέταξε

Λακεδαιμονίοις μὴ πολλάκις τοῖς αὐτοῖς πολεμῆσαι, ἵνα μὴ οὗτοι πολεμεῖν διδαχθῶσι. — 4. Θεμιστοκλῆς πρὸς τὸν Εὐρυβιάδην ἔλεγέ τι ὑπεναντίον· τότ' ἀνέτεινεν αὐτῷ τὴν βακτηρίαν ὁ Εὐρυβιάδης. Θεμιστοκλῆς δὲ «πάταξον μέν, ἔφη, ἄκουσον δέ». — 5. Οἱ γονεῖς ἔστερξαν ἀεὶ τὰ τέκνα μᾶλλον ἢ τὰ τέκνα στέργει τοὺς γονέας. — 6. Ἐπὶ τὴν εὐδαιμονίαν ἄξει σε ἡ ἀρετή. — 7. Οὐκ ἀρξόμεθα ἡμεῖς τοῦ πολέμου· ἐὰν δ' ὑμεῖς ἄρξησθε, ἡμεῖς ἀμυνούμεθα [1]. — 8. Τίνος ἄλλου ἕνεκα [2] πλουτεῖν τις ἂν εὔξαιτο, ἢ βοηθεῖν τοῖς φίλοις;

[1] *Nosotros nos defenderemos.* — [2] Τίνος ἄλλου (neut.) ἕνεκα, *¿con qué otro fin?*

III. Verbos en dental: δω, τω, θω (y ζω)

EJERCICIO DE APLICACIÓN

2. *Analizar y traducir:*

Ψεῦσθαι — ἐκολάσθην — γεγύμνασμαι — ἐκόλασα — ἐπείσθην — πειθήσομαι — πέπεισμαι — σπεύσω — ἔσπευσα — πείσω — ᾖσα — ἠνύσθην — ἤνυσμαι — κολάσω — νομισθείς — φευσθήσεσθαι.

VERSION

1. Οἱ στρατιῶται τότε, ὑπὸ τῶν στρατηγῶν πεισθέντες, ἔσπευσαν. — 2. Τάνταλος διὰ τὴν ἀσέβειαν ἐκολάσθη. — 3. Ἐν τοῖς Δράκοντος νόμοις μία ἅπασιν ὥριστο τοῖς ἁμαρτάνουσι ζημία, θάνατος. — 4. Θεμιστοκλῆς Ξέρξην ἔπεισε πρὸς τοὺς Ἕλληνας ναυμαχῆσαι. — 5. Μισοῦσι τοὺς ψεύσαντας οἱ ψευσθέντες. — 6. Ἁγιασθήτω, Κύριε, τὸ ὄνομά σου. 7. Ἀρίων, θρῆνον ᾄσας ἐφ' ἑαυτῷ, εἰς τὴν θάλατταν ἑαυτὸν ἔρριψε. 8. Αἱ θεράπαιναι, κεκλωσμένου τοῦ ἐρίου, ἐσιτοῦντο.

RECAPITULACION

Arístides y el campesino

Γραφομένων ποτε τῶν ὀστράκων. [1] τις τῶν ἀγραμμάτων καὶ ἀγροίκων ἀνέδωκε [2] τῷ Ἀριστείδῃ τὸ ὄστρακον καὶ παρεκάλει αὐτὸν ἐγγράφειν. Τοῦ δὲ θαυμάσαντος καὶ ἐρωτήσαντος εἴ τι κακὸν αὐτῷ Ἀριστείδης πεποίηκεν· «Οὐδέν, εἶπεν [3] ὁ ἀγροῖκος, οὐδὲ γιγνώσκω τὸν ἄνθρωπον, ἀλλ' ἐνο-

χλοῦμαι πανταχοῦ αὐτὸν ἀκούων [4] Δίκαιον.» Ἐπεὶ δὲ ταῦτα ἤκουσεν, ὁ Ἀριστείδης οὐδὲν μὲν ἀπεκρίνατο, ἐνέγραφε δὲ τὸ ὄνομα καὶ ἀπέδωκε [5] τὸ ὄστρακον.

PLUTARCO.

[1] Γραφομένων τῶν ὀστράκων, gen. absoluto. Se escribía en tejuelos en forma de *conchas* (ὄστρακον) el nombre de los ciudadanos a quienes se quería desterrar. De donde la palabra *ostracismo*; vid. pág. 80. — [2] Ἀνέδωκε, *dió, entregó.* — [3] Εἶπε(ν), *dijo.* — [4] Ἀκούων, *de oir(le) llamar.* — [5] Ἀπέδωκε, *devolvió.*

EJERCICIO DE DERIVACIÓN, COMPOSICIÓN Y ETIMOLOGÍA

1. *Examinar* la formación y el significado propio de cada una de las palabras que componen las siguientes familias:

Φυλάττω, *guardar:*

ἡ φυλακή, ῆς,	*guarda*	ὁ προ-φύλαξ, ακος,	*centinela*
τὸ φυλακεῖον, ου,	*cuerpo de guar-*	προ-φυλάττω,	*estar de centinela*
ὁ φύλαξ, ακος,	*guardia* [*dia*	ἡ προ-φυλακή, ῆς,	*precaución,*
			avanzada

Γράφω, *escribir:*

ὁ γραφεύς, έως,	*escribiente, pintor*	τὸ γράμμα, ατος,	*letra*
ἡ γραφή, ῆς,	*escritura*	τὸ ἐπί-γραμμα, ατος,	*inscripción*
τὸ γραφεῖον, ου,	*punzón, estilo*	ἡ γραμματική, ῆς,	*gramática*

2. *¿Qué* significan etimológicamente las palabras:
Basílica — horizonte — aoristo — cripta — criptógama — fanerógama — fotografía, gráfico — profilaxis — epígrama — gramática — práctica — táctica — cleptomania — bacteria?

Máscara trágica.



Frontón del templo de Zeus *(Júpiter)*, en Olimpia

VERBOS LIQUIDOS

(Gr. §§ 176-181)

VOCABULARIO

Verbos

ἀγγέλλω,	*anunciar*	περι-μένω,	*aguardar*
βάλλω,	*disparar; tocar*	μιαίνω,	*manchar*
στέλλω,	*enviar*	σημαίνω,	*señalar*
σφάλλω,	*caer, fallar*	τείνω,	*extender*
νέμω,	*distribuir*	φαίνω,	*mostrar*
αἰσχύνομαι,	*avergonzarse de*	ἀγείρω,	*reunir*
ἀμύνω,	*rechazar; socorrer*	δια-φθείρω,	*destruir*
ἀπο-κτείνω,	*matar*	καθαίρω,	*purificar*
κάμνω,	*trabajar, fatigarse*	σπείρω,	*sembrar*
κρίνω,	*juzgar*	φθείρω,	*corromper*
μένω,	*permanecer*	χαίρω,	*alegrarse*

Substantivos

ἡ ἀλκή, ῆς,	*fuerza, vigor*	τὸ κέρας, ατος,	*cuerno*
ἡ δύναμις, εως,	*fuerza, poder*	ἡ τραχύτης, ητος,	*fiereza*
τὸ κέντρον, ου,	*aguijón*	ἡ ὁρμή, ῆς,	*ímpetu, ataque*

EJERCICIO DE APLICACIÓN

Analizar y traducir:

Ἀγγελοῦμεν — μίναι — φανήσεται — ἐστειλάμεθα — ἠγγέλθη — κεκρίσθαι — κρῖναι — ἐσημήνω — στέλλων — νείμασθαι — ἀποκτενεῖν — ἀμυναμένους — ἔμειναν — νεμηθείη — κέκριται — φαινοίμην — ἐστάλκειν — ἔσπαρμαι — ἐστάλθησαν — στελῶν — καμνῶ.

VERSIÓN

1. Ἐν Μαραθῶνι Μιλτιάδης τὰς τῶν Περσῶν δυνάμεις διέφθειρεν. 2. Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. — 3. Πρῶτος τῶν στρατηγῶν κεκρίσθω Ἀλέξανδρος. — 4. Ὅταν ὁ ἱππεὺς προχωρεῖν σημήνῃ τῷ ἵππῳ, βάδην ἐρχέσθω. — 5. Θεὸς ἑκάστῳ ὅπλον τι ἔνειμε· λέουσιν ἀλκὴν καὶ τραχύτητα, ταύροις κέρατα, μελίτταις κέντρα, ἀνδρὶ λόγον καὶ σοφίαν. — 6. Τίνα ἀποστελοῦμεν; — 7. Ἁρμόδιος καὶ Ἀριστογείτων Ἵππαρχον ἀπέκτειναν. — 8. Δημῶναξ ἐρωτήσαντι τινι· «Ποῖα νομίζεις εἶναι τὰ ἐν Ἅιδου;» εἶπε *(dijo)*· «Περίμεινον, καὶ ἐκεῖθέν σοι ἐπιστελῶ». — 9. Ἐγὼ θύσομαι ἐπὶ τῇ ὁρμῇ· ὅταν δὲ τὰ τῶν θεῶν καλῶς ἔχῃ [1], σημανοῦμεν. — 10. Κῦρος ἀπεστάλκει Ὑστάσπην ἄγοντα στράτευμα ἐπὶ τὴν Φρυγίαν.

[1] El verbo ἔχω con un adverbio equivale a εἰμί con el adjetivo correspondiente.



BATALLA DE MARATÓN

RECAPITULACION

«ΝΕΝΙΚΗΚΑΜΕΝ»

Μετὰ τὴν ἐν Μαραθῶνι μάχην ὁ στατηγὸς τῶν δρομέων τὸν τάχιστον ἔπεμψεν Ἀθήναζε, ἵνα τὴν νίκην ἀγγέλλοι. Ὁ δὲ κατὰ κράτος [1] σπεύδων διακοσίων καὶ τριάκοντα καὶ ἑπτὰ σταδίων [2] ὁδὸν ἐν βραχυτάτῳ ἐτέλεσε. Ἀφικόμενος [3] δὲ εἰς τὴν ἀγορὰν ἓν μόνον εἶπε [4] «Νενικήκαμεν». Εἶτα δὲ εὐθὺς ἔπεσεν [5] καὶ μετὰ μικρὸν ἐξεπνεύσεν. Οἱ δὲ πολῖται τὸν τετελευτηκότα ἔθαψαν δημοσίᾳ.

[1] Κατὰ κράτος, *con todas sus fuerzas, a toda velocidad.* — [2] Unos 42 Km., distancia aproximada de Maratón a Atenas. — [3] Part. aor. de ἀφικνέομαι, *llegar.* — [4] *Dijo.* — [5] *Cayó.*

EJERCICIO DE DERIVACION Y ETIMOLOGÍA

1. *Examinar* la formación y el significado propio de cada una de las palabras que componen las siguientes familias:

Κρίνω, *juzgar:*

τὸ κριτήριον, ου,	*que sirve para juzgar*	κριτικός, ή, όν,	*que sabe juzgar*
ἡ κρίσις, εως,	*juicio, sentencia*	ὁ κριτής, οῦ,	*juez*

Σημαίνω, *señalar:*

τὸ σῆμα, ατος,	*señal, indicio*	ὁ σημαιο-φόρος, ου,	*abanderado*
ἡ σημαία, ας,	*bandera*	τὸ σημεῖον, ου,	*signo, prueba*

2. *Dar* el significado etimológico de las siguientes palabras:

Balística, ballesta — apóstol, epístola — crisis, crítica, criterio — semáforo, semántica — tenia — miasma — diáfano, fenómeno.

πελταστής



Templo de Teseo, en Atenas.

TIEMPOS SEGUNDOS O FUERTES

(Gr. §§ 182 - 188)

Futuros II activos y medios

VOCABULARIO

ἀγονιοῦμαι,	fut. 2 de	ἀγονίζομαι,	*luchar*
ἀπο-κρινοῦμαι,	fut. 2 de	ἀπο-κρίνομαι,	*responder*
ἐλῶ, ᾷς,	fut. 2 de	ἐλαύνω,	*empujar*
λογιοῦμαι,	fut. 2 de	λογίζομαι,	*calcular*
μαχοῦμαι,	fut. 2 de	μάχομαι,	*combatir*
νομιῶ,	fut. 2 de	νομίζω,	*pensar*
πλουτιῶ,	fut. 2 de	πλουτίζω,	*enriquecer*
ποριῶ,	fut. 2 de	πορίζω,	*proporcionar*
χαριοῦμαι,	fut. 2 de	χαρίζομαι,	*agradar*

Los futuros 2 activos y medios se conjugan como los presentes de los verbos contractos.

VERSIÓN

1. Αὐτοῦ μενοῦμεν· διὸ καὶ σκεπτέον ἐστὶν ὅπως ὡς ἀσφαλέστατα μαχούμεθα. — 2. Οὗτοι ἀληθῶς τὴν πόλιν πλουτιοῦσιν, οἳ οὐ τὰ ἴδια κέρδη λογιοῦνται, ἀλλ' ἀγαθὴν αὐτῇ δόξαν ποριοῦσιν. — 3. Τούτοις τοῖς βάρβαροις ἀποκρινεῖσθε ὅτι πολέμου μὲν ἡμεῖς οὐκ ἄρξομεν, ἀρχομένους δ' ἀμυνούμεθα. — 4. Τῷ ὑμετέρῳ βασιλεῖ ἀγγελεῖτε ὅτι οὐχ ἥκομεν αὐτῷ χαριοῦμενοι, ἀλλὰ πολεμικῶς μαχούμενοι καὶ πρὸς αὐτὸν τοὺς ἡμετέρους στρατιώτας ἐλᾶν ὡς τάχιστα ἐθέλομεν. — 5. Τὸ μέλλον φανεῖ τὰ νῦν κεκρυμμένα κακὰ καί σε οἱ νῦν κολακεύοντες ἀποβαλοῦσι καὶ ὡς μιαρὸν καταχρινοῦσιν.

Aoristos II activos y medios

VOCABULARIO

ἔβαλον,	aor. 2 de	βάλλω,	*disparar, alcanzar*
ἐγενόμην,	aor. 2 de	γίγνομαι,	*llegar a ser, ser*
ἔλαβον,	aor. 2 de	λαμβάνω,	*coger, tomar*
ἔλαθον,	aor. 2 de	λανθάνω,	*estar oculto*
ἔλιπον,	aor. 2 de	λείπω,	*dejar*
ἔμαθον,	aor. 2 de	μανθάνω,	*aprender*
ἥμαρτον,	aor. 2 de	ἁμαρτάνω,	*errar, faltar*
ἐπυθόμην,	aor. 2 de	πυνθάνομαι,	*informarse*
ἔτυχον,	aor. 2 de	τυγχάνω,	*conseguir*
ἔφυγον,	aor. 2 de	φεύγω,	*huir*
ἔτραπον,	aor. 2 de	τρέπω,	*volver*
ἔτεμον,	aor. 2 de	τέμνω,	*cortar*
ἱκόμην,	aor. 2 de	ἱκνέομαι,	*venir, llegar*

VERSIÓN

1. Φύσιν πονηρὰν μεταβαλεῖν οὐ ῥᾴδιον. — 2. Ὁ Κῦρος παραγέλλει τῷ Κλεάρχῳ ἥκειν λαβόντι ὅσον ἦν αὐτῷ σρτάτευμα. — 3. Μηδεὶς ὑμῶν ὑπολάβῃ με βούλεσθαι λαθεῖν. — 4. Ἐπειδὴ θνητοῦ μὲν σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς, πειρῶ τῆς ψυχῆς ἀθάνατον μνήμην καταλιπεῖν. —

El acento es un buen recurso para reconocer los participios e infinitivos aoristos segundos: λιπεῖν, λιπών.

5. Τῇ εἰσβολῇ ταύτῃ [1] πλεῖστόν τε χρόνον [2] ἐνέμειναν οἱ Πελοποννήσιοι καὶ τὴν γῆν πᾶσαν ἔτεμον. — 6. Πολλάκις τινὲς ἤδη τραπόμενοι καὶ φυγόντες τοὺς νικῶντας πολεμίους ἐτρέψαντο. — 7. Γοργίας ὁ Λεοντῖνος σοφιστὴς εἰς 'Αθήνας ἀφίκετο. — 8. Οἱ ὁπλῖται τῶν Θεσπιῶν, μάλα πρόσθεν μέγα φρονοῦντες μὴ ὑπείξειν τοῖς Θηβαίοις, ἔφυγον. — 9. Μίσει τὸ ταχὺ λαλεῖν, μὴ ἁμάρτῃς. — 10. 'Επειδὴ τάχιστα οἱ Λακεδαιμόνιοι ἐπύθοντο τὸν περὶ τὴν 'Αττικὴν πόλεμον, ἦλθον [3] ἡμῖν ἀμυνοῦντες [4].

[1] Dativo de fecha: *cuando esta invasión.* — [2] Acus. de duración. — [3] Aoristo 2 ind. de ἔρχομαι, *ir, venir.* — [4] Gr. § 384-5.°.

Perfectos y pluscuamperfectos II activos

VOCABULARIO

ἀκήκοα,	*he oído*	perf. 2 de	ἀκούω
γέγονα,	*he llegado a ser, soy*	perf. 2 de	γίγνομαι
ἐγρήγορα,	*estoy despierto*	perf. 2 de	ἐγείρω
λέλοιπα,	*he dejado*	perf. 2 de	λείπω
πέποιθα,	*confío, creo*	perf. 2 de	πείθω
πέπραγα,	*he obrado*	perf. 2 de	πράττω
σέσηπα,	*estoy podrido*	perf. 2 de	σήπω

VERSIÓN

1. Ὅσῳ [1] μᾶλλον τὰ τῆς πόλεως ἐλάττω γέγονε, τοσούτῳ [1] μᾶλλον τὰ τούτων ηὔξηται. — 2. Οὐκ ἀκηκόατε τοὺς πολεμίους πλησιάζειν τῇ ἡμετέρᾳ πόλει καὶ ἐν μεγάλῃ μάχῃ ἤδ' εὖ πεπραγέναι; — 3. Δεῖ ἀκηκοέναι πρὶν λέγειν. — 4. 'Εγρηγόρεσαν οἱ πολέμιοι καὶ ἔκαον πυρὰ πολλὰ διὰ νυκτός. — 5. Παρὰ ταύτην τὴν πόλιν ἦν πυραμίς, ἐφ' ἧς πολλοὶ τῶν βαρβάρων ἦσαν ἐκ τῶν πλησίων κωμῶν πεφευγότες. — 6. 'Ελείποντο σρατιωτῶν οἱ ὑπὸ τοῦ ψύχους τοὺς δακτύλους [2] τῶν ποδῶν ἀποσεσηπότες.

[1] Ὅσῳ μᾶλλον... τοσούτῳ μᾶλλον, *cuanto más... tanto más.* — [2] Acus. de relación.

Futuros y aoristos II pasivos

VOCABULARIO

Fut. 2	Aor. 2			
γραφήσομαι	ἐγράφην	de	γράφω,	*escribir*
κοπήσομαι	ἐκόπην	de	κόπτω,	*cortar*
λεγῆσομαι	ἐλέγην	de	λέγω,	*recoger*
σπαρήσομαι	ἐσπάρην	de	σπείρω,	*sembrar*
σταλήσομαι	ἐστάλην	de	στέλλω,	*enviar*
σφαλήσομαι	ἐσφάλην	de	σφάλλω,	*caer, fallar*
ταφήσομαι	ἐτάφην	de	θάπτω,	*sepultar*
τραφήσομαι	ἐτράφην	de	τρέφω,	*alimentar*
φανήσομαι	ἐφάνην	de	φαίνω,	*mostrar*
φθαρήσομαι	ἐφθάρην	de	φθείρω,	*destruir*

VERSIÓN

1. Οἱ Κρῆτες παρ' ἑαυτοῖς τραφῆναι Δία λέγουσιν. — 2. Τριπτόλεμος ἐστάλη ὑπὸ Δήμητρος σπείρειν τὴν γῆν. — 3. Ἐν τῇ ἐν Σαλαμῖνι μάχῃ διεφθάρησαν νῆες τῶν μὲν Ἑλλήνων τετταράκοντα, τῶν δὲ Περσῶν ὑπὲρ τὰς [1] διακοσίας. — 4. Ἐβουλευόμεθα σὺν αὐτοῖς ὅπως ἂν ταφεῖεν οἱ τῶν Ἑλλήνων νεκροί. — 5. Εἰς τὸν Ἰσθμὸν τῶν Ἑλλήνων συλλεγέντων, καὶ ψηφισαμένων ἐπὶ Πέρσας μετ' Ἀλεξάνδρου στρατεύειν, ἡγεμὼν ἀνηγορεύθη Ἀλέξανδρος. — 6. Ἐν τῷ προνάῳ τῷ ἐν Δελφοῖς γεγραμμένα ἐστὶν ὠφελήματα ἀνθρώποις εἰς βίον. Ἐγράφησαν δὲ καὶ οἳ παρ' Ἕλλησι σοφοὶ λέγονται. — 7. Οὐδεὶς δεινότερος οὐδὲ φοβερώτερος ἐγένετο Ἀγησιλάου τῶν εἰς τὴν Ἀσίαν ἀποσταλέντων. — 8. Πτολεμαῖος ὁ Μακεδονίας βασιλεύς, ὑπὸ Γαλατῶν ἐσφάγη, καὶ πᾶσα ἡ Μακεδονικὴ δύναμις κατεκόπη καὶ διεφθάρη. —

9. Σοφίας ὁ καρπὸς οὔποτε φθαρήσεται.

Comprobar siempre los verbos compuestos refiriéndose a las formas simples; así sabremos qué es κατεκόπη, reconociendo primero su forma simple ἐκόπη.

RECAPITULACION

Serenidad de Sócrates ante la muerte

'Επεὶ ὁ Σωκράτης καταχριθεὶς τὸ δικαστήριον ἀπέλιπε καὶ ᾔσθετο τοὺς φίλους δακρύοντας· «Τί τοῦτο;» εἶπεν, «νῦν δακρύετε; οὐ πάλαι ἴστε,[1] ὅτι, ἐξ ὅτου ἐγὼ ἐγενόμην,[2] κατεψηφισμένος ἦν μοῦ ὑπὸ τῆς φύσεως θάνατος»...[3] Παρὼν δέ τις 'Απολλόδωρος εἶπεν· «'Αλλὰ τοῦτο ἔγωγε, ὦ Σώκρατες, χαλεπώτατα φέρω, ὅτι ὁρῶ σε ἀδίκως ἀποθνήσκοντα». Σώκράτης δε καταψήσας αὐτοῦ τὴν κεφαλήν, ἔφη· «Σὺ δέ, ὦ φίλτατε 'Απολλόδωρε, μᾶλλον ἂν ἐβούλου με ὁρᾶν δικαίως ἢ ἀδίκως ἀποθνήσκοντα»; καὶ ἐπεγέλασεν.

JENOFONTE, *Memorables.*

[1] *Sabéis.* — [2] *Desde que nací.* — [3] *Estaba condenado a muerte por la naturaleza* (literal., *la muerte había sido decretada contra mí* (κατά... μοῦ) *por la naturaleza).*

EJERCICIO DE ETIMOLOGÍA

Dar el significado etimológico de las siguientes palabras:

Discóbolo, sílaba, matemáticas, tomo, átomo, anatomía, aséptico, antiséptico, difteria, hipertrofia, atrofia, apóstol, epístola.



Muerte de Sócrates. Relieve ático.



Templo de Poseidón, en Paestum (Magna Grecia).

VERBOS EN -MI

I. Verbos en -μι con reduplicación

Verbo τίθημι

(Gr. §§ 196 - 197)

VOCABULARIO

Verbos compuestos de τίθημι

ἀνα-τίθημι, *colgar;* med. *encargarse*

ἀπο-τίθημι, *deponer;* med. *reservar*

δια-τίθημι, *distribuir;* med. *testar*

ἐπι-τίθημι, *sobreponer;* med. *atacar* (dat.)

κατα-τίθημι, *depositar, establecer;* med. *adquirir*

μετα-τίθημι, *trasladar;* med. *cambiar(se)*

παρα-τίθημι, *ofrecer;* med. *arriesgar*

προσ-τίθημι, *añadir;* med. *asociarse*

προ-τίθημι, *proponer;* med. *proponerse*

συν-τίθημι, *componer;* med. *contratar*

Para entender y comprobar el sentido de los verbos compuestos, véase el significado de las prepos. en composición; Gr. § 233

EJERCICIOS DE APLICACIÓN

1. *Analizar y traducir:*

   a) En la voz activa:

   Προτίθεμεν — προτιθῇ — προτιθέασι — κατετίθετε — κατατιθέντων — κατάθες — μετατίθης — μετατιθῇς — μετατιθῶσιν — συντεθηκέναι — συνθεῖμεν — συνθεῖσα — διατέθηκα — διαθεῖναι.

   b) En la pasiva y media:

   Ἀνατίθεσθε — ἀνατεθῇ — ἀνατεθῆναι — παρατέθητε — παρατεθέν — παρατεθείη — διατιθεῖσθε — διετέθη — καταθήσῃ — καταθήσεσθαι — κατέθου — παράθου — παραθεῖο — ἀποθέσθαι — παραθέμενος.

2. *Razonar* el significado, activo y medio, de los verbos del vocabulario.

VERSIÓN

1. Ὁ νόμος λέγει· ὃ μὴ κατέθου, μὴ λάμβανε. — 2. Οὕτως οἱ πάλαι Ἀθηναῖοι ἐπεμελοῦντο ὅπως τὰ τῆς πόλεως καλῶς ἕξει, ὥστε πολλάκις τὰ ἑαυτῶν χρήματα εἰς τὸ κοινὸν ἑκόντες ἀπέθεσαν. — 3. Ἀλέξανδρος παρακαλούμενος ὑπὸ τῶν φίλων νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις, εἶπεν *(dijo)*· Οὐ βασιλικόν ἐστι κλέπτειν τὴν νίκην. — 4. Ἐγὼ θεοὺς οἴομαι τοὺς νόμους τούτους τοῖς ἀνθρώποις θεῖναι. — 5. Ἑρμῆς τοῖς θεοῖς τὴν ἀμβροσίαν παρετίθει, καὶ Ἥβη τὸ νέκταρ. — 6. Σόλων νόμους κράτιστους τῇ πόλει κατέθηκεν. — 7. Οἱ παλαιοὶ τοῖς νεκροῖς ὀβολὸν ἐν τοῖς στόμασι κατετίθεσαν. — 8. Ἡ τῆς γεωργίας ἐπιμέλεια, τοὺς αὐτουργοὺς διὰ τῶν χειρῶν γυμνάζουσα, ἰσχὺν αὐτοῖς προστίθησι.

RECAPITULACIÓN

Edipo y la Esfinge

Σφίγγα μυθολογοῦσι, θηρίον διμορφόν, παραγενομένην εἰς τὰς Θήβας, αἴνιγμα προτιθέναι τῷ δυναμένῳ λῦσαι, καὶ πολλοὺς ὑπ' αὐτῆς διὰ ἀπορίαν ἀναιρεῖσθαι. Ἦν δὲ τὸ προτιθὲν ὑπὸ τῆς Σφιγγός·

«Τί ἐστι τὸ αὐτὸ δίπουν, τρίπουν καὶ τετράπουν;»

Ἀπορουμένων δὲ τῶν ἄλλων, ὁ Οἰδίπους ἔφηνε ἄνθρωπον εἶναι τὸ προτιθέν· νήπιον μὲν γὰρ αὐτὸν ὑπάρχοντα τετράπουν εἶναι, αὐξήσαντα δὲ, δίπουν, γηράσαντα δὲ, τρίπουν, βακτηρίᾳ χρώμενον διὰ τὴν ἀσθένειαν.

DIODORO DE SICILIA.

Verbo ἵημι

(Gr. §§ 198 - 199)

VOCABULARIO

Verbos compuestos de ἵημι

ἀν-ίημι, *hacer surgir, emitir, dejar*
ἀφ-ίημι, *dejar;* med. *abandonar*
ἐξ-ίημι, *hacer salir;* intr. *echarse*
ἐφ-ίημι, *lanzar;* med. *desear* (g).
μεθ-ίημι, *omitir;* med. *abandonarse*
παρ-ίημι, *dejar*; med. *omitir*
προ-ΐημι, *enviar;* med. *abandonar*
συν-ίημι, *comprender;* med. *acordar*

EJERCICIOS DE APLICACIÓN

1. *Analizar y traducir:*

a) En la voz activa:

'Αφιᾶσι — ἀφιεῖσι — ἀφίεσαν — προεῖναι — προιεῖτε — προίετε — ἐφῆκε — ἐφειχυῖα — ἐφήσω — συνιέναι — συνεῖναι — συνειχέναι — μεθήσει — μεθιῇς — μεθεῖμεν — συνιῶσι — συνεῖσαν — παρειχότας.

b) En la pasiva y media:

'Αφεῖτο — ἀφείθη — ἀφεθέντες — προίεται — προείμην — προιέμενα — μεθήσεται — μεθήσεσθαί — μεθεμένου — συνέσθω — συνέμενοι — συνῆται — μεθεθείης — μεθεῖσθαι — ἐφεθεῖς — ἐφιῇ.

2. *Razonar* el significado, activo y medio, de los verbos del vocabulario.

VERSIÓN

1. 'Αττική πρώτη τὴν ἐλαίαν τοῖς ἀνθρώποις ἀνεῖναι λέγεται. — 2. 'Αγόρευε πάντα ἀληθῆ, καὶ τῶν ψευδῶν ἀφοῦ. — 3. Συνίετε, ὦ ἄνδρες 'Αθηναῖοι, ὡς καλῶς ὁ Σόλων τοὺς νόμους κελεύει τιθέναι. — 4. Ὁ Ξενοφῶν ἐθύετο εἰ [1] παρεῖεν αὐτῷ οἱ θεοὶ πειρᾶσθαι πρὸς Σεύθην ἄγειν τὸ στράτευμα. — 5. 'Ελευθέρους ἀφῆκε πάντας ὁ θεός· οὐδένα δοῦλον ἡ φύσις πεποίηκεν. — 6. Τὰ σώματά γε τὰ εὖ ἔχοντα, [2] ὁπόταν τις αὐτὰ ἀνῇ ἐπὶ ῥᾳδιουργίαν, πονηρῶς πάλιν ἔχει [2]. — 7. 'Εν τῇ ὀρχήσει ἵει ἅμα

πάντα καὶ σκέλη καί χεῖρας καὶ κεφαλήν. — 8. Οἱ τοὺς ἀδελφοὺς παρέντες καὶ ἄλλους φίλους ζητοῦντες παραπλήσιοί εἰσι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, [3] τὴν δ' ἀλλοτρίαν γεωργοῦσιν [3]. — 9. Οἱ Λακεδαιμόνιοι βούλονται τὴν εἰρήνην εἶναι · εἴη δ' ἄν, εἰ τοὺς Ἕλληνας, ὦ ἄνδρες Ἀθηναῖοι, αὐτονόμους ἀφεῖτε. — 10. Ὁ Νεῖλος ἐξίησι εἰς τὴν θάλατταν ἑπτὰ στόμασιν.

[1] Εἰ, por *ver si*. — [2] Véase el recuadro. — [3] Dativo plural del participio.

> El verbo ἔχω con un adverbio de modo es sinónimo de εἰμί:
>
> Οὕτως ἔχει, *así es* — Καλῶς ἔχω, *estoy bien*

El verbo ἵστημι

(Gr. §§ 200 - 202)

VOCABULARIO

Verbos compuestos de ἵστημι

ἀν-ίστημι, *levantar;* med. *levantarse*

ἀφ-ίστημι, *separar;* med. *alejarse*

ἐφ-ίστημι, *poner en;* med. *parar(se)*

καθ-ίστημι, *establecer;* med. *establecerse*

μεθ-ίστημι, *mudar;* med. *mudarse*

συν-ίστημι, *componer;* med. *componerse*

Verbos que se conjugan como ἵστημι

κίχρημι, *prestar;* med. *tomar prestado*

ὀνίνημι, *ser útil;* med. *sacar provecho (de, g.)*

ἄγαμαι, *admirar*

δύναμαι, *poder*

πίμπλημι, *llenar;* med. *llenar para sí*

πίμπρημι, *abrasar, incendiar*

ἐπίσταμαι, *saber*

κρέμαμαι, *estar colgado*

> **MEMORANDA**
>
> En los verbos compuestos de ἵστημι, todas las formas relacionadas con ἔστην, ἕστηκα, son también intransitivas.

EJERCICIOS DE APLICACIÓN

1. *Analizar y traducir* las siguientes formas de las tres voces:

   Ἐφίστης — ἐπιστάς — ἐφεστηκέναι — ἐπιστήτω — κίχρησι — χρήσουσα — κιχρᾶσι — χρῆσαι — ἀνιστῇ — παρεστῶσα (§ 200 Obs. II) — ἀπεστάθης — ἀποσταθῇς — ἀποσταθήσεται — κίχρασθε κιχραίη — ἐπισταθείη — ἠπίστατο — ἐδύνατο — ἐδύνασθε.

2. *Distinguir* el significado, transitivo o intransitivo, de las formas:

   Ἔστησα — στήσω — ἵσταμαι — ἕστην — ἕστηκα — στήσομαι.

3. *Razonar* el significado, activo y medio, de los verbos del vocabulario.

VERSIÓN

1. Τὸ ζῷον συνέστηκεν ἐκ ψυχῆς καὶ σώματος, ὧν τὸ μὲν ἄρχον ἐστί, τὸ δ' ἀρχόμενον. — 2. Ἑστηκὼς (ἑστὼς) φυλάττου, μὴ σφαλῇς. —

3. Θεὸς δὲ τοῖς ἀργοῦσι οὐ παρίσταται.

4. Φέρειν ἀνάγκη [1] τὰς παρεστώσας τύχας.

5. Οἱ Ἀθηναῖοι τὸν Πειραιᾶ [2] ἐμπόριον ἐν μέσῳ τῆς Ἑλλάδος κατεστήσαντο. — 6. Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν. — 7. Ἐπίστασθε, ὦ Ἀθηναῖοι, μόνοι τῶν Ἑλλήνων τοὺς ἀγαθοὺς τιμᾶν. — 8. Ὄναιο ἀγαθῆς τύχης σύ, ἐπεὶ τοσούτους ἄνδρας δυστυχεῖς ὤνησας. — 9. Προσέχειν νοῦν χρή, ὦ ἄνδρες στρατιῶται, ὡς τὸ παραγγελλόμενον δύνησθε ποιεῖν. 10. Τὸ ἐσθίειν πολλὰ τοὺς μὲν λογισμοὺς ἐξαιρεῖ, ὀργῆς δὲ καὶ σκληρότητος τὰς ψυχὰς ἐμπίμπλησιν. — 11. Ἀτυχίαι τοὺς ἀνθρώπους σωφρονεστέρους καθιστᾶσιν. — 12. Ὅσον χρόνον ὁ Περικλῆς προὔστη τῆς πόλεως, αὕτη ἐγένετο μεγίστη.

[1] (sc. ἐστι). — [2] Acus. de Πειραιεύς, -αιῶς, *el Pireo,* puerto de Atenas.

Aoristos II atemáticos de verbos en ω

(Gr. § 209)

VOCABULARIO

ἔδραν,	aor. 2 de	διδράσκω,	*huir*
ἔβην,	aor. 2 de	βαίνω,	*andar, ir*
ἐρρύην	aor. 2 de	ῥέω,	*correr, fluir*

ἐχάρην,	aor. 2 de	χαίρω,	*alegrarse*
ἔδυν,	aor. 2 de	δύομαι,	*sumergirse*
ἑάλων,	aor. 2 de	ἁλίσκομαι,	*ser cogido*
ἐβίων,	aor. 2 de	βιόω-ῶ	*vivir*
ἔγνων,	aor. 2 de	γιγνώσκω,	*conocer*

VERSIÓN

1. Ἐγὼ οὖν φημι ὑμᾶς χρῆναι διαβῆναι τὸν Εὐφράτην ποταμόν. — 2. Ἀκούσαντες ταῦτα ἐπείθοντο καὶ διέβησαν τὸν ποταμὸν πρὸ τοῦ ἡλίου δύντος. — 3. Τὸ γνῶθι σεαυτὸν ἐγέγραπτο ἐν τῷ ἐν Δελφοῖς ἱερῷ. — 4.

Ἀλλ', ἡ βία γὰρ ταῦτα ἀναγκάζει με δρᾶν,
σύγγνωτε. Πῶς γὰρ ἥτις εὐγενὴς γυνή,
πατρῷα ὁρῶσα πήματα, οὐ δρῴη τάδ' ἄν;

5. Ὅτε ἑάλω τὸ Ἴλιον ᾤκτειραν οἱ Ἀχαιοὶ τὰς τῶν ἁλισκομένων τύχας. 6. Σύλλας ἔπλησε τὴν πόλιν φόνου καὶ νεκρῶν, ὥστε τὸν Κεραμεικὸν αἵματι ῥυῆναι. — 7. Οὔτε σε οὔτε αὐτὸν ἀνέγνων. — 8.

Κακοῖς ὁμιλῶν αὐτὸς ἐκβήσῃ κακός.

El verdo δίδωμι

(Gr. §§ 203-204)

VOCABULARIO

Verbos compuestos de δίδωμι

ἀπο-δίδωμι, *devolver;* med. *vender*
δια-δίδωμι, *distribuir, transmitir*
ἐκ-δίδωμι, *entregar, publicar*
μετα-δίδωμι, *comunicar, dar parte*
παρα-δίδωμι, *confiar, transmitir*
προ-δίδωμι, *abandonar, traicionar*

EJERCICIOS DE APLICACIÓN

1. *Analizar y traducir* las formas siguientes:

Προδιδόασι — προδιδῶσι — προδίδωσι — ἀποδιδοῖεν — ἀπεδίδοσαν — ἀπέδωκας — ἐκδοῦναι — ἐκδιδόναι — ἔκδος — ἐκδούς — ἐξέδωκε — παραδοθήσει — παραδοθείης — παραδόθητι — παραδοθῆναι — ἀποδίδοται — ἀπέδοτο — ἀποδοῦ — ἀποδόσθαι — ἀποδεδόσθαι.

2. *Razonar* el significado de los verbos del vocabulario.

VERSIÓN

1. Τὸν ὕπνον οἱ θεοὶ λήθην κακῶν ἔδοσαν ἡμῖν καὶ ἀνάπαυσιν. — 2. Φίλιππος ἐρωτώμενος τίνας μὲν μάλιστα φιλεῖ, τίνας δὲ μισεῖ, ἀπεκρίνατο· «Μάλιστα μὲν φιλῶ τοὺς μέλλοντας προδιδόναι, τοὺς δ' ἤδη προδεδωκότας μάλιστα μισῶ.» — 3. Ὅτε Κῦρος ἀπεχώρει οἴκαδε, πολλὰ μὲν δῶρα διέδωκε τοῖς ἡλικιώταις οὓς ὁ πάππος αὐτῷ ἐδεδώκει, τέλος δὲ καὶ ἣν εἶχε στολὴν τὴν Μηδικὴν ἐκδὺς ἔδωκέ τινι, δηλῶν, ὅτι τοῦτον μάλιστα ἐφίλει. — 4. Τοῖς μὲν ἡγεῖσθαι δέδοται, τοῖς δὲ ἕπεσθαι τέτακται. — 5. Οἱ Λακεδαιμόνιοι ἐνόμιζον τοὺς Ἀθηναίους διδομένης εἰρήνης ἀσμένους δέξεσθαί [1] τε καὶ τοὺς ἄνδρας ἀποδώσειν. — 6. Γυναικὶ ἄρχειν οὐ δίδωσιν ἡ φύσις. — 7. Τοὺς εὖ παθόντας, ὅταν δυνάμενοι χάριν ἀποδοῦναι, μὴ ἀποδῶσιν, ἀχαρίστους καλοῦμεν. — 8. Πυθαγόρας ἔλεγε δύο ταῦτα ὑπὸ τῶν θεῶν τοῖς ἀνθρώποις δεδόσθαι κάλλιστα, τό τε ἀληθεύειν καὶ τὸ εὐεργετεῖν. — 9. Μέλλω ὑμῖν δώσειν τεκμήριον φιλίας.

[1] El compl. dir. de δέξεσθαι es εἰρήνην, que en estos casos, como en latín, no se expresa.

RECAPITULACIÓN

Ciro dispone sus tropas

Κῦρος τὸν θώρακα ἐνέδυ, καὶ ἀναβὰς ἐπὶ τὸν ἵππον τὰ παλτὰ εἰς τὰς χεῖρας ἔλαβε, τοῖς τε ἄλλοις πᾶσι παρήγγελλεν ὁπλίζεσθαι καὶ καθίστασθαι εἰς τὴν ἑαυτοῦ τάξιν ἕκαστον. Ἔνθα δὴ σὺν πολλῇ σπουδῇ καθίσταντο, Κλέαρχος μὲν τὰ δεξιὰ τοῦ κέρατος ἔχων πρὸς τῷ Εὐφράτῃ ποταμῷ, Πρόξενος δὲ ἐχόμενος, οἱ δ' ἄλλοι μετὰ τοῦτον, Μένων δὲ τὸ εὐώνυμον κέρας εἶχε τοῦ Ἑλληνικοῦ στρατοῦ.

JENOFONTE

EJERCICIO DE ETIMOLOGÍA

Dar el significado etimológico de las siguientes palabras:

1) Derivadas del tema θη-, *poner*: tesis, tema, anatema, síntesis, antítesis, metátesis, hipótesis, paréntesis, epíteto, bodega, hipoteca, discoteca, pinacoteca.

2) Derivadas del tema στη-, στα *en pie*: estático, apóstata, hidrostática, sistema, matástasis, éxtasis, Anastasio.

3) Derivadas del tema δω-, δο *dar*: dosis, antídoto, apodo, anécdota (lat. *in-e-ditus*), Teodoro.



Preparación de un sacrificio.

II. Verbos en -μι con sufijo -(ν)νυ

(Gr. §§ 205-207)

VOCABULARIO

Verbos en -νυμι		Verbos en -ννυμι	
ἄγνυμι,	*romper, rasgar*	ζώννυμι,	*ceñir*
δείκνυμι,	*mostrar*	κεράννυμι,	*mezclar*
ζεύγνυμι,	*juntar, uncir*	κρεμάννυμι,	*suspender*
ὄλλυμι,	*perder;* intr.*perecer*	πετάννυμι,	*desplegar*
ὄμνυμι,	*jurar*	σβέννυμι,	*extinguir*
πήγνυμι,	*fijar, helar, coagular*	σκεδάννυμι,	*dispersar*
ῥήγνυμι,	*romper, brotar*	στορέννυμι,	*extender*

Los verbos en (ν)νυμι solamente ofrecen una conjugación especial en el presente y en el imperfecto.

EJERCICIO DE APLICACIÓN

1. *Analizar y traducir* las formas siguientes:

Ζευγνύναι — ζεύξειν — ζευχθῆναι — ἐζεῦχθαι — ζωννύντι — ἐζωκυῖαν — ζωσθέντι — ζώσομαι — ἐζώσατο — πέπηκται — πῆξαι — ἐπήγνυς — πηγνύς — πήγνυς — παγέντες — πεπαγέναι — ἐπήγνυτο — ῥήξεσθαι — πεταννύασι — σβέσετε — ἀγνῦσα — κρέμασον.

VERSIÓN

1. Ἐπέδειξαν οἱ πρόγονοι πᾶσιν ἀνθρώποις νικήσαντες τῇ ναυμαχίᾳ, ὅτι κρεῖττον[1] μετ' ὀλίγων ὑπὲρ τῆς ἐλευθερίας κινδυνεύειν, ἢ μετὰ πολλῶν βασιλευομένων ὑπὲρ τῆς αὐτῶν δουλείας. — 2. Εἴ πού γε φανείη μόνον ὁ Ἡρόδοτος, ἐδείκνυτο ἂν τῷ δακτύλῳ · «Οὗτος ἐκεῖνος Ἡρόδοτός ἐστιν, ὁ τὰς μάχας τὰς Περσικὰς Ἰαστὶ συγγεγραφώς, ὁ τὰς νίκας ἡμῶν ὑμνήσας». — 3. Χρόνος δίκαιον ἄνδρα δείκνυσι μόνος, κακὸν δὲ καὶ ἐν ἡμέρᾳ γνοίης[2] μιᾷ. — 4. Κῦρος στρατηγὸς ἀπεδείχθη ὑπὸ τοῦ πατρός. 5. Ἀπέθανεν ὁ Σωκράτης θαυμασίαν ῥώμην ψυχῆς ἐνδειξάμενος. — 6. Ἦν χιὼν πολλὴ καὶ ψῦχος οὕτως ὥστε[3] τὸ ὕδωρ, ὃ ἐφέροντο ἐπὶ δεῖπνον, ἐπήγνυτο. — 7. Ἀρετή, κἂν θάνῃ τις, οὐκ ἀπόλλυται. — 8. Ἐνταῦθα ἦν κρήνη ἡ Μίδου καλουμένη τοῦ Φρυγῶν βασιλέως, ἐφ' ᾗ λέγεται Μίδας τὸν Σάτυρον θηρεῦσαι οἴνῳ κεράσας αὐτήν.

[1] (sc. ἐστί). — [2] Opt. aor. de γιγνώσκω. — [3] Οὕτως... ὥστε, *de tal manera que.* —

MEMORANDA

Muchas veces καί, como **et** en latín, es simplemente adverbio, con el significado de: *también, incluso, aún.*

RECAPITULACIÓN

A los héroes de Artemision[1]

Παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίας ἀπὸ χώρας
παῖδες Ἀθηναίων τῷδε ποτ' ἐν πελάγει
ναυμαχίᾳ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο Μήδιος,
σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.

SIMÓNIDES.

[1] Este epígrama se escribió en un monumento erigido en el promontorio Artemision en honor de los que murieron en la batalla naval que allí se ganó a los persas y en acción de gracias a Artemisa, patrona del lugar.

EJERCICIO DE ETIMOLOGÍA

1. ¿Qué significan etimológicamente las palabras:

zona — cratera — hemorragia — parapeto (παρα-πετάννυμι, *extender delante*) — ceugma, — paradigma, apodíctico?

III.. Verbos en -μι sin reduplicación ni sufijo

El verbo εἶμι, *voy, iré*

(Gr. § 208, 2.°)

VOCABULARIO

Verbos compuestos de εἶμι

ἄπ-ειμι,	*marcharse, irse de*	πάρ-ειμι,	*acercarse, presentarse*
δί-ειμι,	*recorrer; explicar*	πρό-εἶμι,	*adelantarse*
εἴσ-ειμι,	*entrar en, introducirse*	πρόσ-ειμι,	*acercarse, dirigirse a*
ἔξ-ειμι,	*salir de*	σύν-ειμι,	*ir juntamente, reunirse*

EJERCICIOS DE APLICACIÓN

1 *Analizar y traducir:*

Ἴασι -- ἰόντων — ἴωμεν — ἰέναι — ᾔεισθα — ἄπει — ἀπιούσης — ἄπιθι — ἀπῄει — ἐξίωμεν — ἐξίωσι — ἐξιόν — εἰσῄσαν — εἰσίοιμεν — εἰσίτω — εἰσεῖσι — συνιοῦσι — συνῇα — συνίω — συνιόντες.

2. *Distinguir* las formas:

εἶμι y εἰμί — εἶ y εἶ — εἶσι y εἰσί — ᾖσαν y ἦσαν — ἦτε y ᾖτε.

VERSIÓN

1. Ἡ μὲν ἑσπέρα ἤδη προσῄει· τῶν δὲ γνωρίμων οὐδεὶς ἐφάνη. — 2. Ἐὰν μὴ ἡμεῖς ἴωμεν ἐπὶ τοὺς πολεμίους, οὗτοι ἡμῖν, ὁπόταν ἀπίωμεν, ἕψονται. — 3. Τῇ ὀργῇ οὕτω χαλεπῇ ἐχρῆτο ἐς πάντας ὁμοίως, ὥστε μηδένα δύνασθαι προσιέναι. — 4. Ταῦτα ἀκούσαντες ἀπῇμεν. — 5. Διαλυομένου τοῦ ἀνθρωπίνου σώματος, δῆλα ἐστιν ἅπαντα[1] ἀπιόντα[2] πρὸς τὸ ὁμόφυλον πλὴν τῆς ψυχῆς· αὕτη δὲ μόνη, οὔτε παροῦσα, οὔτε ἀπιοῦσα, ὁρᾶται. — 6. Σὺ πάριθι ἤδη, τὸν πλοῦτον ἀποθέμενος. — 7. Πρῶτον τοὺς παλαιοὺς κινδύνους τῶν προγόνων δίειμι· ἄξιον γάρ ἐστι καὶ ἐκείνων μεμνῆσθαι. — 8. Πάντες οἱ ποταμοί, ἐὰν καὶ πρόσω τῶν πηγῶν ἄποροι ὦσι, τοῖς προϊοῦσι πρὸς τὰς πηγὰς διαβατοὶ γίγνονται.

[1] Ἅπαντα, *todos los elementos del cuerpo* — [2] Δῆλά ἐστιν... ἀπιόντα. Gr. § 3 8-1. Obs.

El verbo φημί, *digo, afirmo*

(Gr. § 208, 3.°)

VOCABULARIO

Verbos compuestos de φημί

ἀπό-φημι,	*decir que no, rehusar*	μετά-φημι,	*hablar entre* o *a*
σύμ-φημι,	*decir que sí, asentir*	παρά-φημι,	*aconsejar* [(dat.)
κατά-φημι,	*afirmar*	πρόσ-φημι,	*hablar a, dirigirse*

VERSIÓN

1. Οὐ συναπατῶ σε, φησίν, οὐδ' ἐνεδρεύω. — 2. Βασιλεὺς ἔφασαν οἱ Ἴωνες, δίκην ἐπιθήσει τοῖς Ἀθηναίοις ὧν εὖ ἐποίησαν ἡμᾶς. — 3. Τότε μεταμέλειν σοι ἔφησθα τῆς ἐπιβουλῆς· διὰ τί οὖν τὸ δεύτερόν μοι ἐπιβουλεύεις; — 4. Καὶ φημί, καὶ ἀπόφημι, κοὐκ ἔχω τί φῶ[1]. — 5. Φασὶ τοὺς Ῥοδίους ἐπίστασθαι σφενδονᾶν, καὶ τὸ βέλος αὐτῶν καὶ διπλάσιον φέρεσθαι τῶν Περσικῶν σφενδονῶν. — 6. Ἀλλ' ἄγε, ἦν δ' ἐγώ[2], ὦ Κέβης, φάθι τίς ἐστι ἡ γνώμη σοῦ. — Φημὶ δῆ, ἦ δ' ὅς[2] ὁ Κέβης. — 7. Καταφασὶν οἱ ποιηταὶ Ἀπόλλωνος[3] μὲν Ἀσκληπιόν εἶναι, αἰσχροκερδῆ δέ· ἡμεῖς δὲ «εἰ μὲν θεοῦ ἦν, οὐκ ἦν, φήσομεν, αἰσχροκερδής, εἰ δ' αἰσχροκερδής, οὐκ ἦν θεοῦ.» — 8.

Ὦ Ζεῦ, τίς εἶναι φησι σοῦ σοφώτερος;

[1] Subjuntivo deliberativo (cuando se pregunta qué se debe hacer). Gr. § 339: κοὐχ, crasis por καί οὐχ. — [2] Gr. § 208-4.° — [3] El genitivo indica a veces *hijo de*. Gr. § 282-2.

Verbos κάθημαι, κεῖμαι

(Gr. § 208, 5.°-6.°)

VERSIÓN

1. Καθήμεθα οὐδὲν ποιοῦντες. — 2. Κεῖται Κόρινθος πρὸς αὐτῇ τῇ ῥίζῃ τοῦ Ἀκροκορίνθου. — 3. Ἐκάθηντο παρὰ τῷ Πρωταγόρᾳ Παυσανίας καὶ νέον τι ἔτι μειράκιον. Ἔδοξα ἀκοῦσαι ὄνομα αὐτῷ εἶναι Ἀγάθωνα. 4. Αἱ Κυκλάδες ἐν κύκλῳ περὶ τὴν Δῆλον νῆσον κεῖνται. — 5. Δεῖ φυλάττειν τοὺς νόμους τοὺς κειμένους. — 7. Δυσκόλῳ ἰατρῷ προσελθών τις εἶπεν· «Κεῖσθαι οὐ δύναμαι, οὐδὲ ἑστάναι, ἀλλ' οὐδὲ καθῆσθαι».

El verbo οἶδα, *sé*

(Gr. § 208, 7.°)

EJERCICIOS DE APLICACIÓN

1. *Analizar y traducir:*

Οἶσθα — ᾔδειν — εἴσονται — εἰσομένων — εἰσοίμην — εἰδῶ — εἰδέναι — σύνισμεν — σύνιστε — συνειδῶμεν — συνειδώς — συνῇσαν.

2. *Distinguir* las formas:

Ἴσασι y ἰᾶσι — ᾔδη y ἤδη — ἦσαν y ᾖσαν — εἴσομαι y ἔσομαι.

VERSIÓN

1. Ἴσθι τοῦθ' ὅτι οἱ γέροντες ἀδίκως τὸ γῆρας αἰτιῶνται · οὐ γὰρ τὸ γῆρας, ἀλλ' ὁ τρόπος τῶν ἀνθρώπων ἐστὶν ἐπίπονος. — 2. Εἴθε μήποτ' εἰδείης τίνες σ' ἔφυσαν γονεῖς. — 3. Δημοσθένης πρὸς κλέπτην εἰπόντα · «Οὐκ ᾔδη ὅτι σόν ἐστιν» ἀπεκρίνατο · «Ὅτι γε σὸν οὐκ ἔστιν ᾔδεσθα. — 4. Ἡράκλειτος, νέος ὤν, πάντων ἐγένετο σωφώτερος, ὅτι ᾔδει ἑαυτὸν μηδὲν εἰδέναι. — 5. Ἆρ' οἶσθα ἐπὶ τίνι ἥκουσιν οἱ πρέσβεις; — Οὐκ οἶδα. — 6. Ἴσασι μὲν οὗτοι τὰ καλά, οὐ πράττουσι δέ. — 7. Ἴσθι ὅτι ἄμεινόν ἐστιν ὀλίγα εὖ εἰδέναι, ἢ πολλὰ οὐκ ὀρθῶς. — 8. Ἰατρὸς ἀγαθὸς οἶδεν ὅ τι συμφέρει τοῖς κάμνουσι. — 9.

Τὸ ζῆν γὰρ ἴσμεν, τοῦ θανεῖν δ' ἀπειρίᾳ
πᾶς τις φοβεῖται φῶς λιπεῖν τόδ' ἡλίου.

RECAPITULACIÓN

Respuesta de Leónidas

Λέγοντός τινος τῷ Λεωνίδᾳ ὅτι ἀπὸ τῶν βελῶν τῶν βαρβάρων οὐδὲ τὸν ἥλιον ἰδεῖν ἔστιν [1] «οὐκοῦν, ἔφη ὁ Λεωνίδας, χαρίεν ἔσται, εἰ ὑπὸ σκιὰν μαχούμεθα».

PLUTARCO.

A los héroes de las Termópilas

Ὦ ξεῖν' [2], ἀγγέλλειν [3] Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα, τοῖς κείνων [4] ῥήμασι πειθόμενοι.

SIMÓNIDES.

Canto de guerra [5]

Ὦ παῖδες Ἑλλήνων ἴτε,
ἐλευθεροῦτε πατρίδ', ἐλευθεροῦτε δέ
παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη, [6]
θήκας [7] τε προγόνων· νῦν ὑπὲρ πάντων ἀγών [8].

Según ESQUILO.

[1] ἔστιν *impers.* es posible — [2] = ξένε. — [3] Infinitivo con valor de imperativo. Gr. § 378. [4] = ἐκείνων. — [5] Peán o canto de guerra que, según Esquilo, entonaron los griegos en la batalla de Salamina. — [6] Templos. — [7] Tumbas. — [8] (sc. ἐστιν).

EJERCICIO DE ETIMOLOGIA

Dar el significado etimológico de las siguientes palabras:

1) Derivadas de φη-, φα-, φω-, *voz, dicción*: afasia, eufemismo, profeta, blasfemia, fonema, fonética, fonógrafo, eufonía, sinfonía, afonía.

2) Derivadas de εἰδ-, οἰδ-, ἰδ- *visión, figura:* idea, cal-eido-scopio, metaloide, esferoide.

RELIEVE FUNERARIO DE UN SOLDADO
Estela ática



Bahía de Salamina, escenario de la batalla del mismo nombre.

VERBOS IRREGULARES

I. Verbos polirrizos

(Gr. § 214-1.°)

Verbos con temas pertenecientes a raíces totalmente distintas

EJERCICIO DE APLICACIÓN

Analizar y traducir las formas siguientes:

Εἷλον — ᾑρήκασι — ᾕρηται — ἐλθόντες — ἐληλυθέναι — φαγεῖν — ἔδεσθαι — ἐρεῖν — εἰπόντος — εἰρηκότες — ἰδόντες — ἑόραμαι — ὤφθησαν — παθεῖν — πέπωκε — δραμών — οἴσει — ἠνέχθησαν — αἱρήσει — ὄψεται — οἴσειν — ἐνένηγμαι — ἠνέχθη — ἐλθεῖν.

VERSIÓN

1. Οἱ Ἕλληνες Τροίαν εἷλον ἐν δέκα ἔτεσι. — 2. Λεωνίδας καὶ οἱ ἑταῖροι αὐτοῦ μᾶλλον εἵλοντο τελευτᾶν καλῶς ἢ ζῆν αἰσχρῶς. — 3. Ἦλθον οἱ Ἕλληνες εἰς Τραπεζοῦντα, πόλιν ἐν τῷ Εὐξείνῳ οἰκουμένην. 4. Ἐὰν τὰ παρεληλυθότα μνημονεύῃς ἄμεινον καὶ περὶ τῶν μελλόντων βουλεύσει. — 5. Ἐγὼ δὴ ἀγασθεὶς αὐτοῦ εἰπόντος, ταῦτ' ἐβουλόμην

ἔτι λέγειν αὐτόν. — 6. Ἦδε ἡ γυνή, δούλη μέν ἐστιν, εἴρηκε δ' ἐλεύθερον λόγον. — 7.

Πολλὰ φαγὼν καὶ πολλὰ πιὼν καὶ πολλὰ κάκ' εἰπὼν
ἀνθρώπους, κεῖμαι Τιμοκρέων Ῥόδιος.

8. Νέος ὢν ὁ Πλάτων οὕτως ἦν αἰδήμων καὶ κόσμιος ὥστε μηδέποτε ὀφθῆναι γελῶν ὑπεράγαν. — 9. Τοὺς βαρβάρους ἰδόντες οἱ Ἕλληνες εἰς τὰ ὅπλα ἔδραμον. — 10. Τίς οὐκ οἶδεν οἷα ἔπαθεν ὁ Προμηθεύς, διότι καθ' ὑπερβολὴν φιλάνθρωπος ἦν; — 11. Οὐδεὶς κάλλιον τοῦ Σωκράτους θάνατον ἤνεγκε. — 12. Ὑμᾶς ἀναμιμνήσκω τὰ γεγενημένα, οἵτινες ὅρκους μεγάλους ὀμόσαντες οἴσετε τὴν ψῆφον περὶ ἐμοῦ.

Verbos con temas pertenecientes a la misma raíz, pero transformados

EJERCICIO DE APLICACIÓN

Analizar y traducir las formas siguientes:

Βάλε — βεβληκέναι — γεγόνασι — γενήσεσθαι — γενέσθαι — ἔσχομεν — ἕξειν — ἐσχήκασι — κέκληνται — κεκαύκαμεν — λιπών — ἐπίθοντο — πεπτωκέναι — ἐρρύη — ἐτάθη — τέτανται — ἔτεκον — γένοιτο — πεσόντα — ἕξεις — γεγόναμεν — γενησόμενοι — ἔφοιντο.

VERSIÓN

1. Ὁ Περικλῆς, ἐν τῷ λοιμῷ τοὺς παῖδας ἀποβαλὼν ἀνδρειότατα [1] τὸν θάνατον αὐτῶν ἤνεγκεν. — 2. Δαναός, ἐξ Αἰγύπτου φυγών, Ἄργος κατέσχεν. — 3. Οἱ Ἀθηναῖοι ἡγοῦνται, εἰ Συρακούσας σχοῖεν, ῥᾳδίως καὶ τὰ ἄλλα ἕξειν. — 4. Εὔβοια ἡ νῆσος ἀπὸ τοῦ βοῶν πλήθους τὸ ὄνομα ἔσχηκεν. — 5. Οἱ Θυνοὶ τὸν Ξενοφῶντα ὀνομαστὶ καλοῦντες ἐξιόντα ἐκέλευον ἀποθνήσκειν, ἢ αὐτοῦ [2] ἔφασαν καυθήσεσθαι αὐτόν. — 6. Οἱ Ἀθηναῖοι Θεμιστοκλεῖ πεποιθότες εἰς τὰς ναῦς ἐπεφεύγεσαν. — 7. Κρεῖττον [3] εἰς κόρακας ἢ εἰς κόλακας πεσεῖν· οἳ μὲν γὰρ νεκρούς, οἳ δὲ ζῶντας ἐσθίουσιν. — 8. Ἐπαμεινώνδας πέπτωκεν ἐν τῇ μάχῃ. — 9. Ἐὰν ἐπὶ τὴν χώραν ἡμῶν πεζῇ ἴωσιν, ἡμεῖς ἐπὶ τὴν ἐκείνων πλευσόμεθα. — 10.

Referir siempre un aoristo 2 en ον al tipo ἔλιπον.

Τὸ πῦρ ἐρρύη κᾶον ἐν Σικελίᾳ περὶ τὴν Αἴτνην. — 11. Ἴσως μὲν οὖν ἄτοπον πεποίηκα, ὅτι σε οὐκ ἐῶν μακροὺς λόγους λέγειν, αὐτὸς συχνὸν λόγον ἀποτέτακα.

[1] Adv. superlativo. Gr. § 217. — [2] Adv., *allí mismo*. — [3] (sc. ἐστί).

II. Verbos incoativos

(Gr. § 214, 2.º)

Verbos incoativos sin reduplicación en el presente

EJERCICIO DE APLICACIÓN

1. *Analizar y traducir* las formas siguientes:

Ἐαλώκασι — ἁλώσεσθαι — ἀνήλωσαν — ἀνηλωκότες — ἀρέσειν — γεγήρακε — ἐδίδαξε — δεδιδαχέναι — εὑρόντα — ηὕρηκα — εὑρεθέντα — οἱ ἡβηκότες — ἀποθανεῖσθαι — ἀποθανών — τεθνήκασι.

VERSIÓN

1. Ἐάν τις ἁλῷ προδιδοὺς τοῖς τυράννοις τὴν πόλιν καὶ τεθνάτω καὶ παῖδες οἱ ἐξ ἐκείνου. — 2. Ἡμῖν συμβαίνει ὑστερίζειν καὶ ὅσ' ἂν δαπανήσωμεν, ἅπαντα μάτην ἀνηλωκέναι. — 3. Τὸν τοῦ πράττειν καιρὸν εἰς τὴν παρασκευὴν ἀνηλώσατε. — 4. Οἱ πάνυ γεγηρακότες ὀδύρονται. — 5. Φασὶν Ἀχιλλέα, ὃν Χείρων ὁ Κένταυρος ἐδίδαξε, τὰ φάρμακα δεδιδάχθαι. 6. Μαρσύας εὑρὼν αὐλούς, οὓς ἔρριψεν Ἀθηνᾶ, ἦλθεν εἰς ἔριν περὶ μουσικῆς Ἀπόλλωνι. — 7. Τύχῃ τέχνην εὕρηκας, οὐ τέχνῃ τύχην. — 8. Πολλαὶ θεραπεῖαι τῶν νόσων ηὕρηνται τοῖς ἰατροῖς [1]. — 9. Τὸ κάλλος ἢ χρόνος ἀνήλωσεν, [2] ἢ νόσος ἐμάρανεν [2]· ἡ δὲ τῆς ἀρετῆς κτῆσις συγγηράσκει. — 10. Περικλῆς τοὺς ἐν Σάμῳ τεθνηκότας ἐγκωμιάζων ἐπὶ τοῦ βήματος, ἀθανάτους ἔλεγεν αὐτοὺς γεγονέναι, καθάπερ τοὺς θεούς. — 11. Καὶ ζῶν ὁ φαῦλος καὶ ἀποθανὼν κολάζεται.

[1] Dativo agente. Gr. § 295 - 4. — [2] Aoristo gnómico. Gr. § 327.

No olvidar que el aumento sólo se da en indicativo; la reduplicación, en cambio, en todos los modos.

Verbos incoativos con reduplicación en el presente

EJERCICIO DE APLICACIÓN

Analizar y traducir las formas siguientes:

Ἀναγνώσεσθαι — ἔγνωσαν — γνῶναι — ἀνέγνωκε — ἀποδέδρακε — ἀπέδρα — ἀναμνήσειν — ἐμνήσθησαν — μεμνημένων — τετρωκέναι.

VERSIÓN

1. Σύ μοι δοκεῖς ἀπαίδευτος εἶναι οὐδ' ἀνεγνωκέναι τὰ Ὁμήρου ποιήματα. — 2. Εἴ τις οἴεται μικρὰν ἀφορμὴν σιτηρέσιον τοῖς στρατευομένοις, οὐκ ὀρθῶς ἔγνωκε. — 3.

Τὸ «γνῶθι σαυτὸν» τοῦτ' ἔπος μὲν οὐ μέγα,
ἔργον δ', ὅσον Ζεὺς μόνος ἐπίσταται θεῶν.

4. Ἀριστείδης ἐκ τῆς πατρίδος ἀπαλλαττόμενος, τὰς χεῖρας ἀνατείνας πρὸς τὸν οὐρανόν, ηὔξατο μηδένα καιρὸν Ἀθηναίους καταλαβεῖν, ὃς ἀναγκάσει τὸν δῆμον τοῦ Ἀριστείδου μνησθῆναι. — 5. Ὁ Πολυδεύκης πυκτεύων ὑπὸ τοῦ Ἀμίκου ἐτρώθη. — 6. Τετρωμένος Ἀγησίλαος προσηνέχθη πρὸς τὴν φάλαγγα. — 7. Ἄνθρωπος ὤν, μέμνησο τῆς κοινῆς τύχης. 8. Τῶν πολεμίων τινὲς πάλιν ἔδραμον ἐπὶ τὸν ποταμὸν καὶ τοξεύοντες ὀλίγους ἔτρωσαν.

III. Verbos con refuerzo ε(η)

(Gr. § 214, 3.°)

EJERCICIO DE APLICACIÓN

1. *Analizar y traducir* las formas siguientes:

Οἱ γεγαμηκότες — αἱ γεγαμημέναι — γαμεῖν — ἔδοξε — δεδογμένα — ἐώσθησαν — βεβούληνται — δεδέηκε — δεηθῆναι — ἐρόμενος — ἐμαχέσαντο — ὀζῆσαι — φήθη — ὠφειληκυῖα — ὀφειλησάντων.

VERSIÓN

1. Ἔγημα θυγατέρα τοῦ βασιλέως. — 2. Πάλαι ποτ' ἐστὶ τοῦτ' ἐμοὶ δεδογμένον. — 3. Οἱ Ἰνδοὶ ἔλεγον ὅτι δεδογμένον εἴη πᾶσι τοῖς συμμά-

χοις βασιλεῦσι, πάσῃ τῇ δυνάμει ἕκαστον παρεῖναι. — 4. Ἔωσα αὐτὸν ἀπ' οἴκων. — 5. Οὐδὲν ἤχθετο ἐκείνων πολεμούντων. — 6. Ἐδέησεν ἐλαχίστου αὐτοὺς διαφθεῖραι τὸ πῦρ. — 7. Ἤρετο Ξενοφῶντα· εἰπέ μοι, ἔφη, ὦ Ξενοφῶν, οὐ σὺ ταῦτα ἐνόμιζες περὶ τούτου; — 8. ΣΩΚΡΑΤΗΣ. Ὦ Χαιρεφῶν, ἐροῦ τὸν Γοργίαν. — ΧΑΙΡΕΦΩΝ. Τί ἔρωμαι; — ΣΩΚ. Ὅστις ἐστίν. — ΧΑΙ. Ἐρήσομαι. — 9. Ταῦτ' εἰπὼν ὁ στατηγὸς θορύβου ἤκουσε διὰ τῶν τάξεων ἰόντος, καὶ ἤρετο τίς ὁ θόρυβος εἴη. — 10. Μηδέ σοι μελησάτω. — 11. Τοὺς μὲν ὑπάρχοντας πολεμίους μεγαλύνετε, τοὺς δὲ μηδὲ μελλήσαντας γένεσθαι, ἄκοντας ἐπάγετε. — 12. Ὀδμὴ ἡδεῖα ἀπὸ κρατῆρος ὀδώδει. — 13. Οἱ δ' ἄλλοι ᾠήθησαν ἀπιέναι.

RECAPITULACIÓN

Ἐκ τῶν εὐαγγελίων

1. Δίδοτε, καὶ δοθήσεται ὑμῖν (S. Lucas)
2. Ἰησοῦ, μνήσθητί μου ὅταν ἔλθῃς εἰς τὴν βασιλείαν σου (S. Lucas)
3. Ζητεῖτε, καὶ εὑρήσετε (S. Lucas)
4. Γένοιτό μοι κατὰ τὸ ῥῆμά σου (S. Lucas)
5. Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν (S. Lucas)
6. Ἀπὸ τῶν καρπῶν αὐτῶν γνώσεσθε αὐτούς (S. Mateo)
7. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται (S. Mateo)
8. Λάβετε, φάγετε· τοῦτό ἐστιν σῶμά μου (S. Mateo)
9. Καὶ ὁ λόγος σὰρξ ἐγένετο (S. Juan)
10. Καὶ τοῦτο εἰπὼν λέγει αὐτοῖς· λάβετε πνεῦμα ἅγιον (S. Juan)

Monograma de Cristo

IV. Verbos con refuerzo nasal

(Gr. § 214, 4.°)

Verbos con tema de presente reforzado por ν, νε, ιν

EJERCICIO DE APLICACIÓN

Analizar y traducir las formas siguientes:

Ἔδακε — δέδηγνται — ἐλᾷ — ἐλήλακε — καμεῖσθαι — καμόντες — κεκμηκέναι — τετεικότες — φθῆναι — βέβηκα — βήσονται.

VERSIÓN

1. Ἐκέλευσεν ὁ Κῦρος τὸν Γωβρύαν προσελάσαντα εἰπεῖν, ὅτι, εἰ βούλεται ὁ βασιλεὺς ὑπὲρ τῆς χώρας μάχεσθαι, αὐτὸς σὺν ἐκείνῳ μάχοιτο ἄν. — 2. Οὐκ ἔκαμον τείνων τὸν τόξον. — 3. Οὕτω πολιτικῶς εἶχον οἱ πρόγονοι, ὥστε τὰς στάσεις ἐποιοῦντο πρὸς ἀλλήλους, οὐχ ὁπότεροι τοὺς ἑτέρους ἀπολέσαντες τῶν λοιπῶν ἄρξουσιν, ἀλλ' ὁπότεροι φθήσονται [1] τὴν πόλιν ἀγαθόν τι ποιήσαντες [2]. — 4. Ἀλλὰ αὐτὸν ἔφθη [1] Τηλέμαχος ὄπισθεν βαλών. — 5 Ἐκάλεσε ὁ Κῦρος καὶ τοὺς Μίλητον πολιορκοῦντας, καὶ τοὺς φυγάδας ἐκέλευσε σὺν αὐτῷ στρατεύεσθαι, ὑποσχόμενος αὐτούς, καταγάγοι οἴκαδε. — 6. Ἀγησίλαος, φιλοτεκτότατος ὤν, συνέπαιζέ ποτε οἴκοι μικροῖς τοῖς παιδίοις, κάλαμον, ὥσπερ ἵππον, ἐπιβεβηκώς· ὀφθεὶς δ' ὑπό τινος τῶν φίλων, παρεκάλει μηδενὶ φράζειν πρὶν ἂν [3] καὶ αὐτὸς πατὴρ παίδων γένηται.

[1] Gr. § 388-2.° — [2] Verbo con doble acusativo. — [3] Πρὶν ἄν (subj.) *antes que*.

Verbos con tema de presente reforzado por αν, o nasal más αν

EJERCICIO DE APLICACIÓN

Analizar y traducir las formas siguientes:

Αἰσθήσεσθαι — ᾔσθετο — ἡμάρτομεν — ἡμαρτηκότες — ἀπήχθοντο — ηὔξηκε — ἔβλαστε — δεδαρθηκυῖα — λαχεῖν — εἰλήχαμεν — λαχών — εἰλήφασι — λαθεῖν — λήσειν — μαθόντος — τυχεῖν.

VERSIÓN

1. Ἐπὶ τὸ ἄκρον ἀναβαίνει Χειρίσοφος πρίν τινας αἰσθέσθαι. — 2. Ὑπὸ τοὺς αὐτοὺς καιροὺς Ὄλυνθος ἑάλω καὶ πολλοὶ τῶν ἡμετέρων ἐλήφθησαν πολιτῶν. — 3. Μετὰ τὸν Αἰνείου θάνατον, Ἀσκάνιος τὴν βασίλειαν παρέλαβεν. — 4. Καὶ ἵππον, ὃν εἰλήφει, δίδωσι ὁ Κῦρος τῷ κωμάρχῃ. — 5. Οἱ Ἀθηναῖοι ὡς ᾔσθοντο τὰ τῆς ναυμαχίας, λαβόντες τὰ ἐν τῇ Σύμῃ σκεύη τῶν νεῶν καὶ Λωρύμοις τοῖς ἐν τῇ ἠπείρῳ προσβαλόντες, ἔπλευσαν εἰς τὴν Σάμον. — 6.

Εἴ τι πρεσβύτερον ἔτι κακοῦ κακόν,
τοῦτο ἔλαχεν Οἰδίπους.

7. Μηδέποτε αἰσχρόν τι ποιήσας ἔλπιζε λήσειν· καὶ γὰρ ἐὰν τοὺς ἄλλους λάθῃς, σαυτῷ γε συνείσει. — 8. Δίκαια δράσας συμμάχου τεύξει τοῦ θεοῦ.

RECAPITULACIÓN

Anunciación a María

Ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ἀπὸ τοῦ θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας ᾗ ὄνομα Ναζαρέθ, πρὸς παρθένον ἐμνηστευμένην [1] ἀνδρὶ ᾧ ὄνομα Ἰωσήφ, καὶ τὸ ὄνομα τῆς παρθένου Μαριάμ. Καὶ εἰσελθὼν πρὸς αὐτὴν εἶπεν· χαῖρε, κεχαριτωμένη, [2] ὁ κύριος μετὰ σοῦ. Ἡ δὲ ἐπὶ λόγῳ διεταράχθη, καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. Καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ· μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ θεῷ. Καὶ ἰδοῦ [3] συλλήμψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱόν, καί καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὗτος ἔσται μέγας καὶ υἱὸς ὑψίστου κληθήσεται.

S. LUCAS.

[1] *Desposada.* — [2] *Agraciada, llena de gracia.* — [3] *He aquí, ecce.*

EJERCICIO DE ETIMOLOGÍA

Indicar palabras castellanas derivadas de los temas:

φαγ-, σχ-, βαλ-/βολ-/βλ-, τοκ-, γεν-/γον-, κλη-, ῥευ-, διδαχ-, εὑρη-, γνω-, βα-, αἰσθ-, λαβ-/ληβ-, μαθ-, γαμ-



Los Propileos, en la Acrópolis.

PALABRAS INVARIABLES

Si se cree oportuno, puede estudiarse esta última parte antes de los verbos en -μι e irregulares.

EL ADVERBIO

(Gr. §§ 215-226)

Adverbios de modo

EJERCICIOS DE APLICACIÓN

1. *Formar* adverbios de los adjetivos que siguen y dar su significado:

δίκαιος,	καλός,	χαλεπός,	ἡδύς,	μέγας,
δεινός,	κακός,	ἀληθής,	ταχύς,	πολύς.

2. *Formar* el comparativo y el superlativo de los siguientes adverbios:

κακῶς,	πολύ,	σοφῶς,	ἡδέως,	σαφῶς,
μέγα,	ἀγαθῶς,	χαλεπῶς,	ἀληθῶς,	ταχύ.

VERSIÓN

1. Καλῶς μοι δοκεῖ ἔχειν ἐκείνη ἡ ἀπόκρισις. — 2. Πρὸ τῆς ἐν Σαλαμῖνι μάχης χαλεπῶς εἶχε τὰ τῶν Ἑλλήνων πράγματα. — 3. Οὕτω γὰρ τάδε ἔχει. — 4. Πάντων τῶν ὀρνίθων ἥδιστα ᾄδει ἡ ἀήδων. — 5. Πῶς ἄν τις κάλλιον καὶ εὐσεβέστερον τιμῴη θεοὺς ἢ ὡς αὐτοὶ κελεύουσιν

οὕτω ποιεῖν; — 6. Ὦ Σώκρατες, χαλεπώτατα φέρω ὅτι ὁρῶ σε ἀδίκως ἀποθνήσκοντα. — 7. Παρὰ τοῖς Ἀθηναίοις οἱ τῆς πατρίδος εὐεργέται ἐν Πρυτανείῳ δημοσίᾳ ἐσιτοῦντο. — 8. Λέγεις μὲν εὖ τε καὶ καλῶς, πράττεις δὲ κακῶς τε καὶ αἰσχρῶς. — 9. Μετὰ χειμῶνα, φαιδρότερον λάμπει ὁ ἥλιος. — 10. Οὐδὲν κωλύσεις με ταῦτα πράττειν. — 11. Τὰ μὲν πρὸς τοὺς θεοὺς εὐσεβῶς, τὰ δὲ πρὸς τοὺς συμμάχους πιστῶς, τὰ δὲ πρὸς τοὺς πολίτας ἴσως ἔπραττεν ὁ Περικλῆς. — 12. Πῶς ὑμῖν τὰ πράγματα ἔχει; —Ἡσυχῇ.

Adverbios de lugar

VERSIÓN

Ποῦ δ᾽ἐστίν ὁ σὸς ἀδελφός; οὐδαμοῦ γὰρ φαίνεται. — 2. Ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς. — 3. Εντεῦθεν Κῦρος ἐξαλαύνει εἰς Ἰκόνιον. — 4. Ἄλλοι τῶν στρατιωτῶν ἐπορεύοντο ᾗ οἱ πολέμιοι πλησίον ἦσαν. — 5. Ποῖ ἐπορεύσαντο οἱ πολέμιοι; — Ἀθήναζε. — 6. Πῇ πορεύσεται ἡ στρατιά; — Ἐκείνῃ. — 7. Ποῖ φεύγει τὰ θηρία; — Πανταχόσε. — 8. Ὅπου ἅμιλλα, ἐνταῦθα καὶ νίκη. — 9. Πόθεν, ὦ βέλτιστε Σώκρατες, ἥκεις; — 10. Ἔφοδος αὐτόθεν ἐπὶ τοὺς κολεμίους ἦν. — 11. Ὅπου ἐστὶν ἔργων καιρός, ἄχρηστοι λόγοι.

Adverbios de tiempo

VERSIÓN

1. Σωκράτης ἀνὴρ τῶν τότε ἄριστος. — 2. Τισσαφέρνης στρατηγὸς ἦν τῶν κάτω. — 3. Ἐνταυθ᾽ ἦσαν πολλοὶ τῶν βαρβάρων ἐκ τῶν πλησίον κωμῶν πεπορευκότες. — 4. Ὡς παρεσκεύασεν ὁ θεὸς τὴν φύσιν τῆς

Un adverbio de lugar o de tiempo

acompañado del artículo equivale a un adjetivo o a un substantivo.

Ej.: Οἱ πάλαι o οἱ πάλαι ἄνθρωποι, *los antiguos*
Οἱ πλησίον o οἱ πλησίον ἄνθρωποι, *los vecinos*

γυναικὸς ἐπὶ τὰ ἔνδον ἔργα, οὕτω τὴν τοῦ ἀνδρὸς ἐπὶ τὰ ἔξω. — 5. Πρῶτον ἀκούουσιν οἱ δικασταί, εἶτα κρίνουσιν. — 6. Οὔποτε ταῖς ἡδοναῖς δουλεύουσιν οἱ σοφοί. — 7. Κλέαρχος δὲ ταὐτὰ πάλιν ἀπεκρίνατο. — 8. Οὐ γὰρ οἱ «ταχὺ» καὶ «τήμερον» λέγοντες μάλιστ' εἰς δέον λέγουσιν.

Adverbios de afirmación y de negación

Empleo de οὐ y de μή

La negación οὐ *y sus compuestas* se emplean, en general, en las oraciones que expresan *un hecho, un juicio, una interrogación.*

La negación μή *y sus compuestas* se emplean, en general, en las oraciones que expresan un *deseo, una prohibición, una suposición o un temor.*

VERSIÓN

1. Οὐκ ἀεὶ ἡδέως τὴν ἀλήθειαν ἀκούομεν. — 2. Αἱ τιμαὶ οὐχ ὑπὸ πάντων διώκονται. — 3. Δίκαιοι ὄντες οὐ κλέπτομεν οὐδὲ φονεύομεν. — 4. Οὐκ ἂν τοῦτο ἔλεγον, εἰ μὴ ἀληθεύειν ἐπίστευον. — 5. Μήτε ἀδίκως μήτε δικαίως φόνευσον· κωλύει γὰρ ὁ νόμος. — 6. Ναὶ μὰ Δία, ἔφη, ἔγωγε τούτων εἰμί. — 7. Μὴ νόμιζε τοὺς πονηροὺς εἶναι εὐδαίμονας μηδὲ τοὺς ἀγαθοὺς κακοδαίμονας. — 8. Οἱ τοξόται ἐτόξευσαν καὶ οὐδεὶς ἡμάρτανεν. — 9. Ὦ μιαρώτατοι, οὔτε θεοὺς οὔτε ἀνθρώπους αἰσχύνεσθε. 10. Μηκέτι δακρύετε, ὦ φίλοι.

Encuentro de dos negaciones

Una negación simple queda anulada por una negación compuesta que sigue.

Ej.: Οὐδεὶς οὐ ἔρχεται *todos vienen* **(nemo non venit)**
Οὐκ ἔρχεται οὐδείς, *nadie viene*

Dos negaciones compuestas se refuerzan entre sí.

VERSIÓN

1. Οὐδαμοῦ ἄτιμοι οὔκ εἰσιν οἱ πονηροί. — 2. Τοῖς ἀνθρώποις οὐκ ἔστιν οὐδὲν χρησιμώτερον ἢ ἡ ὑγίεια. — 3. Οὐδεὶς τὸν καλὸν κἀγαθὸν οὐ νομίζει εὐδαίμονα. — 4. Οὐ μὰ τὸν Δία, οὐ γίγνεται οὐδέν. — 5. Οὐδεὶς οὐδὲν ὑποπτεύει. — 6. Οὐδεὶς οὔ σε εὐδαιμονίζει. — 7. Οὐδέποτε τοῦτο οὐ γίγνεται. — 8. Οὐδεὶς ἀντὶ τοῦ πολέμου τὴν εἰρήνην αἱρεῖται. 9. Νομίζω ἔγωγε οὐδ' ἡμῖν εἶναι οὐδεμίαν σωτηρίαν. — 10. Μή μοι ταῦτα μηδέποτε γίγνοιτο.

Adverbios de interrogación y de duda

VERSIÓN

1. Ἦ πονεῖ ὁ ἀδελφός μου; — Ναί. — 2. Ἆρα νοσεῖ ὁ ἀδελφός μου; — Οὔ. — 3. Ἆρ' οὐ τοῦτο δίκαιόν ἐστιν; — Δίκαιόν γε. — 4. Ἆρα μὴ μῶρος εἶ; — Οὐδαμῶς. — 5. Πότερον οἴεσθε ἀληθεύειν ἐμὲ ἢ ψεύδεσθαι. — 6. Πότερον στέργεις αὐτὸν ἢ μισεῖς; — Ναὶ μὰ Δία, ἔγωγε αὐτὸν στέργω. — 7. Ἆρ' οὐ ὑγιαίνει ὁ σὸς πατήρ; — Ναί. — 8. Ἆρ' ἄν τι μοι ἐθέλοις συμβουλεῦσαι; — Οὔ. — 9. Ἆρα μὴ ἰσότιμος ἔσται ὁ δίκαιος καὶ ὁ πονηρός; — Οὐδαμῶς. — 10. Ἦ σὺ ταῖς σεαυτοῦ χερσί πάντα ταῦτα τὰ δένδρα πεφύτευκας; — Ναί.

EJERCICIO DE ETIMOLOGÍA

Dar el significado y la etimología de las siguientes palabras:

Eufemismo (φημί, *decir*) — eufonía — Euterpe (τέρπω, *deleitar*). — Evangelio — eucaristía — eucalipto (καλύπτω, *cubrir*) — palinodia.

ἅμαξα.



Despedida de un guerrero.

LA PREPOSICIÓN

(Gr. § 230)

I. Preposiciones de un solo caso

Obsérvese bien el sentido propio y general de cada una de las preposiciones, ya que, con tal se refleje este sentido, una preposición griega se puede traducir al castellano de una o de otra manera.

EJERCICIOS DE APLICACIÓN

1. *Analizar y traducir:*

   Ἐκ τῆς ἀγορᾶς — ἀπ' ἐκείνου χρόνου — ἀντὶ τοῦ βασιλέως — πρὸ τῆς ἐν Σαλαμῖνι μάχης — σὺν κραυγῇ — ἐν τῷ αὐτῷ χρόνῳ — ἀνὰ νύκτα — εἰς τὴν Ἑλλάδα — σὺν χρόνῳ — σὺν θεοῖς — ἐν οἴκοις — πρὸ φόβου — ἐκ παίδων *(a pueris)* — τοξότας εἰς τετρακοσίους.

2. *Traducir* por una preposición griega la relación que se expresa en la parte en cursiva de las expresiones siguientes:

   Entre los atenienses — *fuera* del mar — río *arriba* — la batalla

de Maratón — venció *con la ayuda de* Atenea — *a cambio de* dinero — útil *para* la guerra — *hacia* la tarde — reinar *en lugar de* alguien — marchar *contra* los enemigos — *antes que* esto preferiría morir.

VERSIÓN

1. Ἀντὶ πολέμου εἰρήνην αἱρούμεθα. — 2. Καλέουσιν ἑαυτοὺς ἀπὸ τῶν μητέρων, καὶ οὐκ ἀπὸ τῶν πατέρων. — 3. Σὺν τῷ θεῷ ὄλβιοι εἶτε. 4. Ἀπὸ τούτου τοῦ χρόνου βεβαίως ἐπορευόμεθα, ἡγεμόνας ἔχοντες. — 5. Φυγαδευθεὶς ἐκ Θηβῶν, Πολυνείκης ἧκεν εἰς Ἄργος. — 6. Ἐν ταῖς ἀτυχίαις φαίνεται ἡ φιλία. — 7. Ἡ σελήνη κατέλαμπεν εἰς τὴν θάλατταν. — 8. Ἀράσπης ἦν ἐκ παιδὸς Κύρῳ ἑταῖρος. — 9. Ἔρχεται ὁ στρατηγὸς σὺν τοῖς πελτασταῖς καὶ ὁπλίταις. — 10. Νῆσον ἀντὶ χρημάτων παραλαμβάνουσιν.

EJERCICIO DE ETIMOLOGIA

1. *Dar* el significado etimológico de las palabras siguientes:

Apogeo, apoteosis, apocalipsis (καλύπτω, *velar, cubrir*); — anacronismo; — simpatía, sincronismo, sinónimo; — Propileo, prólogo, programa.

2. *Encontrar* las palabras casttellanas derivadas de ἀντί y de

ὁ ἀγωνιστής, οῦ,	*el que lucha*	τὸ πάθος, ους,	*pasión, afecto*
ὁ, ἡ ἄρκτος, ου,	*oso; la Osa*	ὁ πούς, ποδός,	*pie*
τὸ ἄλγος, ους,	*dolor* [*Mayor*	ἡ θέσις, εως,	*posición*
ὁ νόμος, ου;	*ley*	τὸ ὄνομα, ατος,	*nombre*

II. Preposiciones de dos casos

EJERCICIOS DE APLICACIÓN

1. *Analizar y traducir:*

Διά τῆς στρατιᾶς, διά τὴν στρατιάν — κατά τῶν ὀρῶν, κατά Φιλίππου, κατά γῆν καὶ θάλατταν, κατά τοὺς νόμους — μετά τῶν ἄλλων,

μετά τὴν μάχην — ὑπὲρ τοῦ ὄρους, ὑπὲρ τῆς πατρίδος — ὑπὲρ Ἑλλήσποντον — διά χιόνος πολλῆς — κατ' ἐκεῖνον τὸν χρόνον.

2. *Traducir* por una preposición griega la relación que se expresa en la parte en cursiva de las expresiones siguientes:

Durante (= a través de) la noche — andar *por* país enemigo — *bajo* tierra — río *abajo* — precipitarse *de lo alto* de las rocas, hablar *contra* alguien — luchar *en compañía de* los aliados — *después de* la batalla de Maratón — hablar *en favor de* uno *más* de treinta días.

La preposición κατά

seguida de un acusativo puede tener sentido *distributivo.*

Ej.: Καθ' ἡμέραν, *cada día;* κατά τρεῖς, *de tres en tres.*

VERSIÓN

1. Ὁ Δαίδαλος ἠναγκάζετο δουλεύειν τῷ Μίνωϊ διὰ τὴν σοφίαν. — 2. Καθ' ἕνα ἐμάχοντο. — 3. Κατὰ στέρνον παίει Κῦρος τὸν ἀδελφὸν καὶ διὰ τοῦ θώρακος τιτρώσκει. — 4. Μετὰ τῶν νόμων καὶ τοῦ δικαίου διὰ παντός τοῦ βίου ἀεὶ ἐκινδύνευσεν ὁ Ἀριστείδης. — 5. Διὰ νυκτὸς ᾄδει ἡ ἀηδών. — 6. Διὰ τῶν νεφελῶν λάμπει ἡ σελήνη. — 7. Σάρδεις πόλις ἦν πλουσιωτάτη ἐν τῇ Ἀσίᾳ μετὰ Βαβυλῶνα. — 8. Καὶ ὑπὲρ τῆς πατρίδος καὶ ὑπὲρ ἐφεστίων θεῶν ἀγὼν ἔσται. — 9. Ὁ ἥλιος ὑπὲρ τῶν κεφαλῶν ἡμῶν ἔλαμπεν. — 10. Μετὰ τὸν τοῦ Ἀλεξάνδρου θάνατον, πάντα ἐν τοῖς βασιλείοις μεστὰ ἦν θορύβου.

EJERCICIO DE ETIMOLOGÍA

Dar el significado y la etimología de las siguientes palabras:

Diagonal — diálogo — diámetro — diapasión — diáfano — catálogo — católico (ὅλος, *todo*) — matafísica — metátesis (θέσις, *posición*) — método — hipertrofia (τροφή, *alimentación*).

III. Preposiciones de tres casos

EJERCICIOS DE APLICACIÓN

1. *Analizar y traducir:*

Παρὰ τοῦ βασιλέως — παρὰ τοῖς Ἀθηναίοις — παρὰ τὸν ποταμόν — ἐπὶ τὸν πατέρα — ἐπὶ τῇ γῇ — ἐπὶ τούτοις — ἐπὶ Κύρου βασιλεύοντος — περὶ τὸ πῦρ, περὶ τούτους χρόνους — περὶ νεκρῷ — περὶ τίνος λέγεις; — πρὸς τὴν ἀγοράν — πρὸς τοῦ ποταμοῦ — πρὸς τῇ γεφύρᾳ — ὑπὸ γῆς — ὑπὸ νύκτα — ὑπὸ τῇ πέτρᾳ — ἀμφὶ τὰ ἱερά.

2. *Traducir* por una expresión griega la relación que se expresa en la parte en cursiva de las expresiones siguientes:

Por miedo — *hacia* el mismo tiempo — llegó *al pie del* monte — sa fué *bajo* los árboles — anuncia esto *de mi parte* — voy a *casa de* mi hermano — *entre* los atenienses — *del lado* del río — *en nombre* de los dioses — *además* de esto — *contra* los enemigos — hablan *de* una tregua — *alrededor de* la tienda — *hacia* el mediodía.

En su sentido local, estas preposiciones suelen responder:

en *genitivo*	a la pregunta **unde?**
en *dativo*	a la pregunta **ubi?**
en *acusativo*	a la pregunta **quo?**

VERSIÓN

1. Σιλανὸς παρὰ Κύρου ἔλαβε *(recibió)* τρισχίλιους δαρεικούς. — 2. Οἱ ἔφοροι παρὰ δούλου τὰ τοῦ Παυσανίου βουλεύματα ἤκουσαν. — 3. Ἐν Πέρσαις οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ. — 4. Στρατηγοὺς ἐπὶ δεῖπνον Σεύθης ἐκάλεσε. — 5. Ἐκινδυνεύσαμεν ἀμφὶ τοῦ βίου. — 6. Ἦσαν κῶμαι πολλαὶ ἐν τούτῳ τῷ πεδίῳ παρὰ τὸν ποταμόν. — 7. Ζεὺς πρὸς ἡμῶν ἐστιν. — 8. Οὐ πρὸς θαλάττῃ ἵδρυνται αἱ Ἀθῆναι. — 9. Ἀνταλκίδας παρὰ τῶν Λακεδαιμονίων πρὸς τῶν Περσῶν βασιλέα ἐπέμφθη περὶ εἰρήνης. — 10. Ὑπὸ τοὺς αὐτοὺς χρόνους σεισμοὶ πολλάκις ἦσαν ἐν τῇ Σικελίᾳ.

Preposiciones impropiamente dichas

(Gr. § 231)

VERSIÓN

1. Δένδρα θεραπεύομεν καρποῦ ἕνεκα. — 2. Ταῦτα νῦν πρᾶττε τοῦ ἐμοῦ ἀδελφοῦ χάριν. — 3. Ὁ Μαύσωλος ἐπορεύθη μέχρι Μιλήτου τὴν Ἰωνίαν καταστρεφόμενος. — 4. Ὦ παῖ, ἀλήθειαν ἀεὶ λέγε ἐναντίον ἁπάντων. — 5. Πάντες παρῆσαν πλὴν ὑμῶν. — 6. Οὐδὲν ἀπαθὲς πορίζεται ἄνευ πόνου. — 7. Πόρρω ἤδη εἰμὶ τοῦ βίου, θανάτου δὲ ἐγγύς. — 8. Μεθ' ὑμῶν, ὦ φίλοι, πορεύσομαι μεχρὶ νυκτός. — 9. Προμηθεὺς τὸ πῦρ ἐπόρισεν τοῖς ἀνθρώποις λάθρᾳ Διός.

EJERCICIO DE ETIMOLOGIA

1. *Dar* el significado etimológico de las palabras siguientes:
   Anfiteatro — perigeo — hipogeo — perímetro — perihelio — período — epígrama — epílogo — seísmo — sismógrafo.

2. *Formar* palabras castellanas con los siguientes grupos de palabras griegas:

   Ἐπὶ y τάφος, *sepulcro* — ἐπὶ y ὄνομα, *nombre* — ἐπὶ y θάλαμος, *cámara nupcial* — ἐπὶ y δέρμα, *piel* — ἐπὶ y δῆμος, *pueblo* — ἐπὶ y ἡμέρα, *día* — ἐπὶ y κοινός, *común* — ὑπὸ y κρίσις, *juicio* — ὑπὸ y θέσις, *posición*.

3. *Encontrar* las palabras castellanas derivadas de περὶ y de las siguientes palabras griegas:

ἄνθος,	*flor*	καρπός,	*fruto*	φράζω,	*hablar*
καρδία,	*corazón*	κρανίον,	*cráneo*	στύλος,	*columna*

Máscara cómica.

LA CONJUNCIÓN

(Gr. § 234)

I. Conjunciones de coordinación

VERSIÓN

1. Αἱ Μοῦσαί τε καὶ αἱ τέχναι εἰσὶν εὐεργετικαί. — 2. Οὔτε ἡ αρετὴ οὔτε ἡ σοφία τῷ νεανίᾳ πίκραὶ ἦσαν. — 3. Ὁ μὲν κυβερνήτης ἐν τῇ πρύπνῃ ἐστιν, οἱ δὲ ἐρέται εἰσὶν ἐν τῇ πρώρᾳ. — 4. Τοῦ ναύτου ἢ τοῦ στρατιώτου οὐ μόνον χαλεπή ἐστιν ἡ δίαιτα, ἀλλά καὶ σφαλερά. — 5. Τοῖς ποιηταῖς φίλαι εἰσὶν αἱ δάφναι· τῶν γὰρ Μουσῶν ἱερά ἐστι ἡ δάφνη. — 6. Κῦρος οὔπω ἥκει, ἀλλ' ἔτι προσελαύνει. — 7. Οὐχ οὕτως ταῦτα ἔχει; — Ἔχει δή. — 8. Οὐ σὺ μέντοι Ὁμήρου ἐπαινέτης εἶ; — 9. Διογένης ἔλεγεν· «Οἱ μὲν ἄλλοι κύνες τοὺς ἐχθροὺς δάκνουσιν, ἐγὼ δὲ τοὺς φίλους.» — 10. Οὐκοῦν παρέστω ἡμῖν ὁ κῆρυξ. — 11. Τί δὲ κλαίεις, ὦ παῖ; — 12. Κῦρος πάντων τῶν ἡλίκων διέφερε καὶ εἰς τὸ ταχὺ μανθάνειν καὶ εἰς τὸ καλῶς ἕκαστα ποιεῖν. — 13. Ὁ μὲν βίος βραχύς, ἡ δὲ τέχνη μακρά.

II. Conjunciones de subordinación

VERSIÓN

1. Ὁ Σωκράτης ἔλεγεν ὅτι ἓν μόνον ἀγαθόν ἐστιν, ἡ ἐπιστήμη. — 2. Ἐξ ἐμοῦ ἄκουσον ὡς κακὸν οἱ κακοὶ φίλοι καρπὸν φέρουσιν. — 3. Χαίρομεν ὅτι ὑγιαίνεις. — 4. Τὴν φιλοσοφίαν ἐπιτηδεύετε καὶ τοὺς φίλους θεραπεύετε, ἵνα καλοὶ κἀγαθοὶ ἦτε. — 5. Ἐπειδὴ ἐπιθυμεῖς, ἀπέρχομαι. 6. Οἴονται πολιτικοὶ εἶναι, ὅτι ἐπαινοῦνται ὑπὸ τῶν πολλῶν. — Ἐρωτᾷ εἰ ἕτοιμος εἶ. — 7. Ἐρωτῶ εἴτε νοσεῖς εἴθ' ὑγιαίνεις. — 8. Εἰ βούλει εἰρήνην, παρασκεύασον τὸν πόλεμον. — Εἰ πλούσιος ἦν, οὐκ ἂν φιλάργυρος ἦν. — Εἰ πλούσιος εἴην, οὐκ ἂν εἴην φιλάργυρος. — Ἐὰν οἱ φιλόσοφοι βασιλεύσωσιν, εὐδαίμονες ἔσονται οἱ ἄνθρωποι. — 9. Εἰ καὶ βασιλεὺς πέφυκας, θνητὸς εἶ. — 10. Κἂν μόνος ᾖς, μηδὲν φαῦλον μήτε λέγε μήτε πρᾶττε. — 11. Οὕτως ἐστὶ σοφὸς ὥστ' οὐδέποτε σφάλλεται. — 12. Θηρεύει ἀφ' ἵππου ὁπότε γυμνάζειν βούλεται ἑαυτόν. — 13. Ἀναβαίνει

πρίν τινα αἰσθάνεσθαι. — 14. Οὐκ ἤθελε πρὶν ἡ γυνὴ αὐτὸν ἔπεισε. — 15. Ὅταν εἰς ἀγροὺς ἐλαύνῃ ὁ Περσῶν βασιλεύς, πάντες οἱ Πέρσαι δῶρα αὐτῷ προσκομίζουσιν.

RECAPITULACIÓN

Los Diez Mil llegan a la vista del mar

